Ὡς ἐμ' ἀφαιρεῖται Χρυσηΐδα Φοῖβος Ἀπόλλων.
Τὴν μὲν ἐγὼ σὺν νηΐ τ' ἐμῇ, καὶ ἑμοῖς ἑτάροισι
Πέμψω, ἐγὼ δ' εἰς ἄγω Βρισηΐδα καλλιπάρηον
Αὐτὸς ἰὼν κλισίηνδε τὸ σὸν γέρας, ὄφρ' ὗ εἰδῇς
Ὅσσον φέρτερός εἰμι σέθεν, συγέῃ δὲ καὶ ἄλλος
Ἶσον ἐμοὶ φάσθαι, καὶ ὁμοιωθήμεναι ἄντην.
Ὡς φάτο, Πηλεΐωνι δ' ἄχος γένετ', ὠδὶ οἱ ἦτορ
Στήθεσιν λασίοισι διὰ δίχα μερμήριξεν,
Ἢ ὅγε φάσγανον ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ
Τοὺς μὲν ἀνασήσειεν, ὃδ' Ἀτρεΐδην φαεσίμβροτον
Ἠὲ χόλον παύσειεν, ἐρητύσειέ τε θυμόν
Ἕως ὃ ταῦθ' ὥρμαινε καὶ ἕλκετο χειρὶ φρένα καὶ κατὰ θυμόν.
Ἕλκε δ' ἐκ κολεοῖο μέγα ξίφος. ἦλθε δ' Ἀθήνη
Οὐρανόθεν, πρὸ γὰρ ἧκε θεὰ λευκώλενος Ἥρη,
Ἀμφω

προὸ γὰρ ἦκε.] προέπεμψε γὰρ αὐτὴν. ἄμφω.] ἀμφοτέρως. ὁμῶς.] ὁμοίως. θυμῷ.] τῇ ψυχῇ. φιλέσσαι.] φιλῆσαι. κηδομένη τι.] καὶ φροντίζουσα. τῇ ἦ.] ἴσῃ δέ. ξανθῆς δέ.] καλῆς. πυῤῥᾶς, καὶ διὰ τέτο δέ φασιν αἰνίττεσθαι τὸ θᾶσσον καὶ ὀργίλον τ ἥρωος. οἱ γὰρ ξανθόχολοι τοιῦτοι. κόμης.] τῆ θριχώσεως. ἄρκται ἢ παρὰ τὸ κόσμον εἶναι τ σώματος. ἕλκε.] ἕλαβε. οἷα φανομένη.] μόνῳ αὐτῷ φανομένη. καὶ ὁρωμένη, μόνος γὰρ αὐτὸς τὸν οἰκεῖον δαίμονα, καὶ τίνα ἐν αὐτῷ φρόνησιν ἴσχει. τ δ' ἄλλων.] τ ἢ λοιπῶν. ὅτις ὁρᾶτο.] δηλοῖ ἴσχει καὶ ἐβλέπετο. θάμβησεν.] ἐφοβήθη. θεσπλάγη. μετὰ δ' ἐβράπετο.] καὶ ποδηγεράφη. αὐτίκα δ' ἔγνω.] παραχρῆμα ἢ ἐπέγνω. Παλλάδα.] τὴν Αθηνᾶν ἐπιθετικῶς. ὕστοις ἀπὸ τ πάλλειν, καὶ παρὰ Λατίνοις τὸ δόρυ. πολεμικὴ γὰρ ἡ Θεὸς, ἢ ὅτε Πάλλαντα ἕνα τ γιγάντων ἀπέκτεινεν. ἢ ἀπὸ τ ἀναπαλθῶσαι αὐτὴν ἐν τῇ κεφαλῇ τ Διός. ἢ διὰ τὸ παλλομένην τὴν καρδίαν τ Διονύσε προσκομίσαι τῷ Διΐ. δεινὰ δέ εἰ.] φοβερῶ ἢ αὐτῷ. δινεῖσθαι.] ὅσον.] ὄμματα. ὀφθαλμοί. Φάανθεν.] ἐφάνησαν. καί μιν.] καὶ αὐτὴν. φωνήσας.] προσειπὼν, καλέσας. ἔπεα πτερόεντα.] λόγες ταχεῖς. λόγε γὰρ οὐδὲν ταχύτερον. προσήνδα.] προσεῖπεν. τίπτ' αὖ. τί δὴ ποτε. συγκοπὴ ὁ τρόπος. Αἰγιόχοιο.] αἰγίδα ἔχοντος. Αἰγὶς δέ ἐστιν ὅπλον Διὸς ὑφαιστότευκτον. ἐλήλυθας.] ἐλήλυθας, ὡς γέγονα. ἢ ἢ διάλεκτος ἰώνων, ἢ ἵνα.] ἢ ὅπως. ὕβριν.] νῦν τὸν φόνον. ἢ μᾶλλον τὴν ἀλαζονείαν. ἀλλ' ἴκ τοι ὄρκῳ.] ἀλλ' ὅρκῳ δή σοι. τὸ ἦ καὶ τετελέσθαι οἴω.] ὅπερ καὶ πληρωθήσεσθαι ὑπολαμβάνω. ἧς ὑπερπλέησι.] τῆς ἰδίας ὑπερφανείας. τάχ' ἄν ποτε.] ταχέως ἄν ποτε. ὀλέσῃ.] ἀπολέσῃ. τὸν δ' αὖτε.] ἔτερον ἢ πάλιν. προσείπε.] προσεῖπεν. Γλαυκῶπις.] ἡ γλαυκόφθαλμος, ἢ γλαυκὸς καὶ καταπληκτικὸς ὤπας ἔχουσα. ἦλθον.] παραγενόμην. Παύσασα.] διαπαύσασα. τὸν μὲν.] τῶν σῶν ὀργῶν. αἶνε πίθηαι.] ἐὰν πείθῃς ἐμοί. πρὸ δέ μ' ἦκε.] προέπεμψε δέ με. ἄμφω ὁμῶς.] ἀμφοτέρως ὁμοίως. φιλέσσά τε.] φιλῆσα. κηδομένη τε.] καὶ φροντίζουσα. ἀλλ' ἄγε.] ἀλλὰ φέρε. ἔστι ἢ ἐπίῤῥημα παρακελεύσεως ἢ ἐπιῤῥηματικὸν μόριον. λῆγε.] παῦε. ὄρκιδος.]

Ἄμφω ὁμῶς θυμῷ φιλέσσά τε κηδομένη τε.
Στῆ δ' ὄπιθεν, ξανθῆς δὲ κόμης ἕλε Πηλείωνα
Οἴῳ φαινομένη, τῶν δ' ἄλλων ὄττις ὁρᾶτο. (ἔγνω
Θάμβησεν δ' Ἀχιλλεύς, μετὰ δ' ἐτράπετ', αὐτίκα δ' ἔγνω
Παλλάδ' Ἀθηναίην, δεινὼ δὲ οἱ ὄσσε φάανθεν,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα.
Τίπτ' αὖτ' Αἰγιόχοιο Διὸς τέκος ἐλήλυθας.
Ἦ ἵνα ὕβριν ἴδῃ Ἀγαμέμνονος Ἀτρεΐδαο.
Ἀλλ' ἔκτοι ἐρέω, τὸ δὲ, καὶ τετελέσθαι οἴω,
Ἧς ὑπερπλέησι τάχ' ἄν ποτε θυμὸν ὀλέσῃ.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη.
Ἦλθον ἐγὼ πάυσουσα τεὸν μένος, αἴκε πίθηαι,
Οὐρανόθεν, πρὸ δέ μ' ἧκε θεὰ λευκώλενος Ἥρη
Ἄμφω ὁμῶς θυμῷ φιλέσσά τε, κηδομένη τε.
Ἀλλ' ἄγε λῆγ' ὄριδος, μὴ δὲ ξίφος ἕλκετο χειρί.
Ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον ὡς ἔσεται πέρ.
Ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται.
Καί ποτέ τοι τρὶς τόσσα παρέσσεται ἀγλαὰ δῶρα
Ὕβρι ἕνεκα τῆσδε, σύ δ' ἴσχεο, πείθεο δ' ἡμῖν.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Χρὴ μὲν σφωΐτερόν γε θεὰ ἔπος εἰρύσασθαι (λεύς.
Καὶ μάλα περ θυμῷ κεχολωμένον, ὡς γὰρ ἄμεινον
Ὅς κε θεοῖς ἅπιθήται, μάλα τ' ἔκλυον αὐτοῦ.
Ἦ, καὶ ἐπ' ἀργυρέην κώπην χέρε χεῖρα βαρεῖαν.
Ἂψ δ' ὦσ κολεὸν ὄσσε μέγα ξίφος, οὐδ' ἀπίθησε
Μύθῳ Ἀθηναίης, πρὸ δ' ἤλυθε δὲ βεβήκει,
Δώματ' ἐς Αἰγιόχοιο Διὸς μετὰ δαίμονας ἄλλους,

Πηλείδης

ὅρκιον. ἕλκετο.] ἕλκυε. ἀλλ' ἤ τοι ἔπεσιν μέν.] διὰ μὲν λόγων. ὀνείδισον.] ὕβρισον. ὡς ἔσεται πρᾶ.] ὥσπερ καὶ γενήσεται. ὧδε γάρ.] ἔτως γάρ. ὑβρίω.] ὑβρίσω. λέξω. τὸ ἦ καὶ τετελεσμένον ἔσται.] ὅπερ καὶ τελεωθήσεται. καί ποτέ τοι.] καί σοι ποτέ, πρὸς ἀναφώνησις ὁ τροπ. τρὶς τόσα.] πολλάκις τοσαῦτα. ἢ γὰρ τριπλάσια αὐτῷ παρασχέθη παρὰ Ἀγαμέμνονος. ἀλλὰ σοὶ τῇ Βρισηΐδι πολλὰ ἄλλα ὡς αὐτός φησιν ἐν τῇ ι. παρέσεται.] ἀποδήσεται. ὕβρι εἵνεκα τῆσδε.] ὑπὲρ ταύτης τῆς ὕβρεως, ἢ διάλεκτος Ἰάς. ἀγλαὰ.] καλὰ. πόδας ὠκύς.] τοῖς ποσὶ ταχύς. σύ δ' ἴσχεο.] σὺ ἢ παῦε. Πείθεο δ' ἡμῖν.] καὶ πάθε ἡμῖν. χρή.] προσῆκόν ἐστι. πρέπει. σφωΐτερον.] ὑμέτερον. ἐρύσσασθαι.] φυλάξαι. καὶ μάλα.] καὶ πάνυ. πεχολωμένον.] ὠργισμένον. ὡς γὰρ ἄμεινον.] ὅτω γὰρ βέλτιον. ὅς κε μ.] ὃς ἂν. ἐπιπέθηται.] πάθῃτι ἀκυσῃ. μάλα τ' ἔκλυον αὐτ.] λίαν ἐπακέσαι αὐτ. ἦ.] ἐφη, ἤπειν. ἀργυρέην.] ἀργυρᾶν, λαλῆ. κώπην.] τῇ λαβίδι τ ξίφες. σχέθε.] ἐπίσχεμ, ἐπίβαλεν. ἄψ.] πάλιν. ὦσε τὸ πίσω. βαρεῖαν.] ἰσχυρὰν. μεγάλην. ἴκελον.] τῶν ξιφοβλήκων. ὦσεν.] ἀπώσατο. ἐνέβαλεν. δ' ἀπίθησεν.] δ' ἠπάθησεν. ἀλλ' ἐπείθη.

μύθῳ.] τῷ λόγῳ. Ἀθηναίης.] ἢ Ἀθηνᾶς. ἦ δέ.] αὕτη δέ. ἔλυμπον δέ.] ἐς τὸν ὄλυμπον. βεβήκει.] ἀπελήλυθει. ἀποῤῥύθη. μετὰ δαίμονας.] ἀδὲ τὸς θεός. ὅτως ἢ δαίμονας ἴκελα τὸς θεός. ἤτοι δαίμονας, ἐμπειροι γὰρ καὶ ἐπορεύθη. μετὰ δαίμονας.] ἀδὲ τὸς θεός. ὅτως ἢ δαίμονας ἴκελα τὸς θεός. ἤτοι δαίμονας, ἐμπειροι γὰρ καὶ ἐδηρεις πάντων αὐτοί εἰσιν. ἢ ὅτι διαιτηταί εἰσι καὶ διοικηταὶ τ ἀνθρώπων. Αλκμὰν ὁ λυρικός φησιν. οἳ ἔθεν πάλοις ἐπαλι δαίμονα τ' ἐλάσσατο. τὸς μερισμὸς τὰς διαιτήσεις αὐτῶν. Ἡσίοδος ἢ δαίμονάς φησι τὸς ἐκ τ ζῶ μιταξὺ ὄντας. ὄντας ἢ ὡδὶ τ Κρόνε βασιλέως τ χρυσᾶ γένες λέγων αὐτὸς δαίμονας φύλακας θνητῶν ἀνθρώπων.

Βαῦτις

βαθῦτις.] ἰκ βιοτήρος, τοῦθ' ὕως, παραυτά. ἀταρτηροῖς.] ἀτηρεῖς, χαλεποῖς. λῦγε.] ἐπανύτο. χόλοιο.] ἡ ὀργῆς. ἐπέεσσιν.] ἐπεσι. λόγοις. οἰνοβαρές.] οἰνοβαρεμένε, μέθυσε. κυνὸς ὄμματ' ἔχων.] ἀντὶ τ῀ ἀναισίματε ὡς κύων. παρλίλιπα δ' ἐλάφοιο.] τὸν ἢ κερδίαν ἐλάφ. τ῀τ' ἐστὶ λειπὼς ἐλαφ῀. κερασίην.] παρδίαν. τὸ ἢ πάθ῀ ἡ λέξις, μετάθεσις. κρὶ παρλίπ ἢ ἐλιλίχθη. εἴρηται ἢ ἀπὸ τ῀ παρδάνιοθαι κρὶ πάλλεσθαι ἀὶ τὸ ἡ παρδίας σπλάγχνον. ἅμα λαῷ.] ἅμα τῷ ὄχλῳ. θωρηχθῆναι.] κεκαθωπλισθῆναι. λόχον.] ἐνέδραν. εἶναι.] παραγενέσθαι. σὺν ἀρίστῃσι.] σὺν τοῖς ἀρίστοις ὑγεμόσι. τέτληκας.] πεπαρτέρηκας, ὑπομεμένηκας. θυμῷ.] τῇ ψυχῇ. τὸ λίτος.] λειτικώτερον. κρὶ ἀναφορικώτερον. κύρ.] θάνατ῀. τὸ γὰρ φησι τὸ ἐν πολέμῳ ἢ λόχῳ εὐρεθῆναι, ὡς θάνατος μισητόν σοι φάνεται. Εἰλιτῆ.] φάνεται. λοπὸν ἢ πολὺ λώϊον.] ἀλλ' ὄντως δήσει τ῀το καλὸν εἶναι νομίζετε. κατὰ τρατόν.] κατὰ τὸ τρατόπεδον. εὐρύν.] πλατὺ καὶ μέγιστον. δῶρ' ἀποκριθῆναι.] τὰ παρ' ἄλλῳ τινὶ λισθόμενα λῶρα ἀφαιρεθῆναι. ὅστις σί θεν.] ὅστις σῦ. ἀντίον.] ἀβίναντίας. δημοβόρ῀.] ὁ τὰ δημόσια ἐατιθίων ἐτιλανοῖσιν.] ἐθέλοντος λόγου ἀξίοις. ἀθυτίσιν. ἀνάσσεις.] βασιλεύεις. ἦ γὰρ ἂν Ἀτρέϊδη.] ὄντως γὰρ δὴ ἦ῀ τ῀ Ἀτρέως Ἀγαμέμνων. ὕσσατα λωβήσαιο.] ὑσάτην ἂν ταύτην τὴν ὕβριν ἀργάσω. φονευθεὶς ἐν αὐτῇ ὑπὸ πάντων. βλαβεὶς, ὑβριθεὶς. ἀλλ' ἦ τοι ἰρέω.] ἀλλ' ὁρῶ δήσει. ὀμῶμαι.] ὀμόσω. ἐπόμνυθί ἐστι τὸ ὑπισχνούμενον ὀμόσαι, ἀπομνώμαι δὲ, τὸ ἀποφάσκειν. νὰὶ μὰ τὸ ἢ σκῆπτρον.] νὰὶ μὰ ἦ῀το τὸ σκῆπτρον. πεπλεόνακε τὸ μὰ ἀρνητικὸν ὄγκῳ ἀπομοτικὸν μέρισμα κατὰ ἀτ῀λίπον ἐθ῀. ὑφῆκε γὰρ ἀπᾶξ νὴ ἦ῀το τὸ σκῆπτρον. ἐστίον ἢ ὅτι διὰ τ῀ σκήπτρου ὀμνυσιν αὐτ῀ τ῀ ἐφορον δὴ βασιλέως θεόν. τὸ μὴ ἔ ποτε.] ὅπερ οὐδέ ποτε ἂν. παραβολὴ ὁ ῥόπ῀. ὄλεσε.] κλάδους. φύσει.] ἀναβλαστήσει. Διατί ὁ Ἀχιλλεὺς σκῆπτρον ἔχει; κρὶ λέγομεν ὅτι ἀ κρὶ μὴ πάντων τ῀ Ἑλλήνων ἐβασίλευε, τ῀ μέντοι Μυρμιδόνων ἦρχεν. ἐπειδὴ πᾶξ τὸ πρῶτον κρὶ τὴν ἀρχὴν. τὸ μὲν ἐν ὄρεσι λίλοιπε.] τὴν τομὴν. ὁ ἐστὶ τὴν ῥίζαν αὐτ῀ τμηθεῖσαν ἐν τῷ ὄρει λατίλειψε. ὃδ' ἀναβλήσει.] ὃ ἢ ἀναβλαστήσει. πρὶ γὰρ ῥὰ ἐ χαλκὸς ἔλειψε.] πρὶ ἐλείπετο γὰρ αὐτὸ ὁ σίδηρ῀ ἔ ἐστιν ἐγλυψε. φύλλατε κρὶ φλοιόν.] τά τε φύλλα κρὶ τὸν φλοιὸν. φλοιὸς δέ ἐστι τὸ παλόμενον λέπ῀. νῦν αὖτέ μιν.] νῦν αὐτὸ πάλιν. υἷες Ἀχαιῶν.] πρεσβύτατοι οἱ Ἕλληνες. ἐν παλάμῃς.] ἐν ταῖς χερσί. φορέουσι.] φορῶσι, βαστάζουσι. Διὸς σπόλοι.] οἱ πρὶ τὰς δίκας ἀναστρεφόμενοι βασιλῆς κρὶ νόμους. θέμιστας.] δικαιοσύνας, νόμους. πρὸς Διός.] παρὰ τ῀ Διός. ῥύονται.] ῥύονται. φυλάττουσι. τὸ ἢ ὅλον. οἵ τινες τὰς δίκας, κρὶ τὰς νόμους παραλαβόντες φυλάττουσιν. ὅ δέ τοι.] ὅτος δέ σοι. ἔσεται.] γενήσεται. ἢ ποτ' Ἀχιλλ῀ς.] ὄντως δήποτε ἐμὸ τ῀ Ἀχιλλέως. ποθὴ.] πόθησις ἐπιθυμήσις. ἵξεται.] παραγενήσεται. ξύμπαντας.] ὁμῦ πάντας. τοῖς δ' ὅτι.] τότοις ἢ ὀθ'μ. δυνήσεται.] δυνήσῃ. ἀχνυμένος κρ.] κάι πρ λυπόμεν῀. χρεισμέων.] βουθέων. εὖτ' ἂν.] ὁπότ' ἄν. πολλοί.] πολέμιοι. ὑφ' Ἕκτορ῀.] ὑπὸ τ῀ Ἕκτορος. ἀνδροφόνοιο.] ἀνδροφόνῳ, πολεμικῷ. Διατὶ τ῀ Ἕκτορα ἀνδροφόνον προσηγόρευσι κὴ ὁ χαλκοκορυστὴς, ἢ ἱππόδαμος; ῥητέον ὅτι ἀνδροφόνον αὐτ῀ εἴρηκε, πρὸς κατάπληξιν τ῀ ἀκουόντων. εἰωθὼς ἢ τηρεῖν τὰ ἐπίθετα εὐσταχῶς. κρὶ ἄλλως ῥητέον ὅτι ἐν ᾧτίς ἐστι μέγας ἀεὶ κρὶ εὐδοκιμῶν, ἐν τότε κρὶ ἄλλος ἐπαινεῖ. κρὶ γὰρ ὁ Ἀχιλλεὺς ἤκουε μὲν Διογενὴς καλόμενος. ὀχ' ἥτερον ἢ ἐπίχαιρε κὴ τῇ ἀνδροφονίᾳ. πάν τότε λέγει τ῀ Ἕκτορα ἀνδροφόνον. θυόσκοντες.] ἀποθνήσκοντες, πίπτοντες νεκροί. σὺ δ' ἐνόησθα.] σὺ ἢ ἐσώθην. θυμόν.] τὴν ψυχήν. ἀμείρεις.] σπαράξεις, πλυτήσῃ. χωόμενος.] λυπούμενος ὀργιζόμενο῀. ὀδύρετισας.] κατ' ὀδυρετίσας. ποτὶ ἢ σκῆπτρον βάλε γαίῃ.] προσέβαλε ἢ κὴ προσέρριψε τῇ γῇ τὸ σκῆπτρον διὰ τὴν ὀργήν, ἡ λιάλεκτ῀ Δωρίων. χρυσάοις ἥλοισι πεπαρμένον.] χρυσοῦς ἥλους ἔχον κὴ διαπεπερονημένον αὐτ῀ ἠσφαλισμένον. ἵρητο.] ἐκαθέζετο. ἑτέρωθεν.] ἐκ τ῀ ἑτέρου μέρους, ξενανλίας. ἐμήνιε.] ὠργίζετο. ἠλιτεπὴς.] ἑ ἡλὺς ἐν τῷ λίγαιμ

Πηλείδης δ' ὀχαῶτις ἀταρτηροῖς ἐπέεσσιν
Ἀτρέϊδην πρόσφατε, κρὶ ὀπτω λῦγε χόλοιο.
Οἰνοβαρές, κυνὸς ὄμματ' ἔχων, παρλίλιπ δ' ἐλάφοιο, 10
Οὔτέ ποτ' ὀν πόλεμον ἅμα λαῷ θωρηχθῆναι
Οὔτε λόχον δ' ἰέναι σὺν ἀρίστῃσιν Ἀχαιῶν
Τέτληκας θυμῷ. τὸ δέ τοι, κὴρ εἴδετα θάνῃ.
Ἦ πολὺ λώϊόν ὄτι κῆ κρατὸν δυρὶ Ἀχαιῶν
Δῶρ' ἀφαιρεῖσθαι ὃς τις σέθεν αὐτίον εἴπῃ.
Δημοβόρ῀ βασιλεὺς, ἐπεὶ ὀπίθανοῖσι ἀνάσσεις.
Ἦ γὰρ ἂν Ἀτρέϊδη νῦν, ὕσσατα λωβήσαιο.
Ἄλλ' ἔκτοι ἐρέω, κρὶ ὐδὶ μέγαν ὅρκον ὀμόσσαι,
Νὰὶ μὰ τόδε σκῆπτρον, τὸ μὲν ὄποτε φύλλα 20
Φύσει, ἐπεὶ ἢ πρῶτα τομὴν ἐν ὄρεσι λέλοιπεν,
Οὐδ' ἀναθηλήσει, πολὶ γὰρ ῥὰ ἑ χαλκὸς ἔλειψε,
Φύλλατε κὴ φλοιόν, νῦν αὖτέ μιν υἷες Ἀχαιῶν,
Ἐν παλάμῃς φορέουσι δικασπόλοι, οἵτε θέμιστας
Πρὸς Διὸς εἰρύαται, ὃ δέ τοι μέγας ἔσσεται ὅρκ῀.
Ἦ ποτ' Ἀχιλλῆος ποθὴ ἵξεται υἷας Ἀχαιῶν
Ξύμπαντας, τοῖς δ' ὄτι δυνήσεαι ἀχνύμενός περ,
Χρεισμέων; εὖτ' ἂν πολλοὶ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
Θνήσκοντες πίπτωσι, σὺ δ' ἐνθάδε θυμὸν ἀμύξῃς 30
Χωόμενος, ὅτ' ἄριστον Ἀχαιῶν οὐδέν' ἔπεφνες.
Ὣς φάτο Πηλείδης, ποτὶ δὲ σκῆπτρον βάλε γαίῃ
Χρυσείοις ἥλοισι πεπαρμένον, ἕζετο δ' αὐτός.
Ἀτρέϊδης δ' ἑτέρωθεν ἐμήνιε. τοῖσι δὲ Νέστωρ
Ἡδυεπὴς ἀνόρουσε λιγὺς Πυλίων ἀγορητής.

Τὸν

τῷ λίγειν. αὐδῆσαι.] αὐδῆσαι, αὐδῆσ. ὥς οὖν τὸ αὐδῆσαι ἐπὶ τῷ Νέστορι ὁ Ποιητὴς τῷ ἡβῶντι ἤδη ἐχρήσατο, ὡδὶ γέρων γὰρ ἀνὴρ ἐῦ λέγειν ἐδόκει. ἢ ὅτι τὸ προνοητικὸν τῶν ὁμοφύλων, νεανικῶν αὐτῷ προτιθῆσι πίνυσιν. οὐδὲ γὰρ γέροντα πυθέσθαι μᾶλλον αὖ τις πινυτὸν ἐνοπλίζουσα σκάφους ὑπὲρ τὸ λέσχιον λιπούσῃ καὶ ἄλλως. ῥητέον ὅτι ἀεὶ ἡ θ τιμᾶς προσθήκη μὴ μόνον τὰς νέας, ἀλλὰ καὶ τὰς γεροντας μεταπέθειν πρὸς τὸ καὶ παρὰ μίαν ἐγχειρεῖν τί ποιεῖν. μᾶλλον ἢ τὸν Νέστορα ἐν τῷ δημηγορεῖν διαφέροντα τῶν λοιπῶν. καὶ ἐνίοτε μὴ ἀναρεσκομένους τοὺς Ἕλληνας πρὸς τὰ λεγόμενα. λιγύς.] ὀξύς. ἐν τῷ λίγειν, ὀξύς. Πυλίων.] τῶν τὴν Πύλον κατοικούντων. ἐστι δὲ ὄνομα ἔθνους. ἀγορητύς.] δημηγόρος. ἢ καὶ ἀπὸ γλώσσης.] ὅ τινος καὶ ἀπὸ θ γλώσσης. ἡ γλῶσσα σημαίνει γ. αὐτό γε τὸ σῶμα. καὶ τὴν διάλεκτον. καὶ τὸ ἀπεξενωμένον θ λέξεως. γλυκίων.] ἡδίων, γλυκεῖα. ῥέων.] ἐρρεε, ἐφέριτο. διὰ δὲ ἢ ἀπᾶν ῥέειν ἐμφαίνει τὸ ῥητορικὸν ἢ Νέστορος. αὐδή.] φωνή. τῷ δ' ἤδη δύω μὲν γενεαὶ μερόπων ἀνθρώπων ἐφθίατο.] ἐφθαρμέναι ἦσαν. Ἡρακλέους δὲ Πύλον τραπόντος ἐτι νέος ὄντος ἢ Νέστορος, καὶ ἀποκτείναντος τοὺς πρεσβυτέρους μίαν ὄντας γενεάν. καὶ τοὺς θ μέσης ἡλικίας, ἄλλην ὄντας γενεάν ὡς καὶ ὁ Νέστωρ μόνος περισωθεὶς θ ῥίζης γενεᾶς ἐβασίλευεν, θ πρὸ τῶν παῖδας. ἐστίον ὅτι οἱ παλαιοὶ τὰς γενεὰς ἐφύφιζον ἕως ἐτῶν ρκ. μερόπων.] μιμεισμένως τὴν φωνὴν ἔχοντων. ὡς πρὸς σύγκρισιν ἢ ἄλλων βάρβ. ὅ ἐστι μεριζομένως ἀπὸ συλλαβάς. καὶ ἐναρθρον ἔχοντων τὴν ὄπα. ἢτ' ἐστι τὴν φωνήν. οἱ οἱ πρόσθεν ἅμα τράφεν ἠδ' ἐγίνοντο.] τουτέστιν οἱ πρὸ τούτου γενόμενοι. καὶ οἱ ἅμα αὐτῷ τραφέντες. ἠδ' ἐγίνοντο.] καὶ ἐγίνοντο. ἠγαθέη.] παύω θάλ. ὅ σφιν.] ὃς ἐν αὐτοῖς. εὐφρονέων.] καλῶς φρονῶν. ἀγορήσατο.] ἐδημηγόρησε. καὶ ἔπεσι. ὦ πόποι.] φεῦ. παπαί. ἐστὶ ἢ σχετλιαστικὸν ἐπίρρημα. ὅ ἐστι λύπης δηλωτικόν. ἢ μέγα πένθος.] ὄντος μεγάλης λύπης. Ἀχαιΐδα γαῖαν.] τὴν Ἑλληνικὴν χώραν. τοὺς Ἕλληνας. ἐστι ἢ μετωνυμία ὁ βρῆθος. ἤμην γενόμενος.] ὄντως αὖ χαρᾶς. Πειρίθοόν τε Κ ἀντίθεον Πολύφημον.] καὶ οἱ τοῦ Πειρίθου παῖδες. ἅμα τοῖς λοιποῖς Τρωσί. μέγα μεν.] μεγάλως αὖ. ἐκχαροίατο.] χαρεῖεν. ἐκ σφῶϊν. ἐκ ὑμῶν. τάδε πάντα.] ταῦτα πάντα. πυθοίατο.] μάθοιεν. μαρναμένοιν.] μαχομένοιν. οἱ πέρι μὴ βουλὴ Δαναῶν.] αὐτὶ ἢ οἵτινες διαφέρετε τῶν Ἑλλήνων καὶ ἐν τῷ βαλεῖσθαι. πρὶ δ' ἐπὶ μάχεσθαι.] περισσῶς δὲ καὶ ὑποβρακλόντως ἐστὶ καὶ ὑπερέχετε ἐν τῷ πολεμεῖν. ἀλλὰ πίθεσθε.] ἀλλὰ πείθεσθε. ἄμφω δέ.] ἀμφότεροι δέ. νεώτερω.] νεώτεροι, συνετῶς. ἐσθ.] ἐστὶ. ὑπάρχετε. ἐμοῖο.] ἐμοῦ. ἀρέσσει.] βελτίωσι, ἡδίω ὑμῖν.] ἢ ὑμῖν. ὠμίλησα.] συνανεγράφην. καὶ ἔπος τί μοι.] καὶ οὐδέποτέ μοι. Ἀθήναζε.] ἐπὶ θουν ἀποδοσίμαζον. οὐ γάρ πω.] οὐδέποτε γάρ. τέσσυς.] τοὺς τους. ἴδον.] ἐθεασάμην. αὖτε ρας.] αὖθις. οὐδὲ ἰδωμαι.] οὐδὲ ἰδεῖν συνήσομαι. οἷον.] ὁποῖον. Πειρίθοον.] Πειρίθουν, ὄνομα κύριον. Περίθους ὁ Ἰξίονος, γίνει βῆ ὦ Ἀθηνᾶ. ὠκήσαται δὲ τοῖς Κενταύροις. πρὸς γάμον δὲ ἀγόμενος Ἱπποδάμειαν τὴν Βιτάλα, τοὺς Κενταύρους συνεκάλεσεν εἰς σύνοχίαν. οἱ τινες οἰνωθέντες ἐπεχείρουν ὑβρίζειν ὅσαι τῶν Ἑλληνίδων παρῆσαν γυναικῶν. ἔθνη οἱ Λαπίθαι συστάδην μαχεσάμενοι διώκουσιν αὐτοὺς εἰς Μάλιον ὄρος θ Θεσσαλονίκης. ὁ ἢ Περίθους ὠνομάσθη οὕτως ἀπὸ τοῦ πρίασθαι ἵππῳ ὁμοιωθέντα τὸν Δία ἐν τῷ μίγνυσθαι τῇ μητρὶ αὐτ. Δρύαντά τε.] καὶ τὸν Δρύαντα. ποιμένα λαῶν.] βασιλέα ὄχλων. Καινέα τε.] καὶ τὸν Καινέα. ὁ ἢ Καινεὺς Ἐλάτου βῆ παῖς, Λαπίθων ἢ βασιλεὺς πρότερον ὢν παρθένος συνετικῆς. μιγέντος ἢ αὐτῇ Ποσειδῶνος, αἰτησαμένη μεταβαλεῖν εἰς ἄνδρα ἡ γυναῖς, ἄτρωτος γέγονε. γενναιότατος ἢ λοιπὸν αὐτὸν ὑπάρξας. καὶ δήποτε πήξας ἀνέντιον ἐν τῷ μεσαιτάτῳ θ ἀγορᾶς, θεοῖς ἔτι προσέταξεν ἀριθμῷ. διὸ ὧν αἰτίαν ἀγανακτήσας ὁ Ζεὺς τιμωρίαν θ ἀσεβίας παρ' αὐτοῦ εἰσπράξατο. μαχόμενον γὰρ αὐτὸν τοῖς Κενταύροις καὶ ἄτρωτον ὄντα ὑποχείριον ἐποίησε. βάλλοντες γὰρ αὐτὸν οἱ προσερηνεῖς δρυσί τε καὶ ἐλάταις, ὤρεισαν εἰς γῆν. μέμνηται ἢ αὖ καὶ Ἀπολλώνιος ἐν τοῖς Ἀργοναυτικοῖς λέγων οὕτως. Καινέα γὰρ τὸν πρόσθεν ἐπικλείουσιν ἀοιδοὶ Κενταύροισιν ὀλίσθαι, ὅτι σφέας εἶος ἀπ' ἄλλων ἤλασ' ἀριστήων, οἵδ' ἐμπαλιν ὁρμηθέντες οὔτε μιν ἀγκλίναι προτέρω δύνον, οὔτε δαΐξαι. Αλλ' ἄῤῥηκτος, ἀκαμπὴς ἐλύσατο νειόθι γαίης. Θεσσαλιώτιδι δ' ἐν ἀρῇσι καταίξαντα ἐλάτησιν. Ἐξαλιδύντι.] καὶ τὸν Ἐξάλιον. αὐτίθεον.] ἰσόθεον. πάρτιδι.] ἰσχυρότατοι, γενναῖοι. ἄφενος.] ἐπιχθονίων.] ἐπιγείων.

Τράφην.] ἐτράφησαν. ἦσαν.] ἦσαν, ὑπῆρχων. Φηρσί.] θηρίοις. λέγει δὲ τοὺς Κενταύρους. ἴξίων δὲ Φλεγύου παῖς, Δίαν τὴν Δηϊόνεως γήμας, ἐλθόντα τὸν πενθερὸν ἀδίκα τὰ ἕλνα, λόγῳ καταπρήσαι, μανεὶς καὶ ὑπὸ Διὸς ἀλαθαρθεὶς τὸν φόνον. Ἥρας ἤτορον ὀράσθη. Ζεὺς δὲ βουλόμενος αὐτὸν λοιμάσαι ἐν τῷ ὄντι τολμᾷ τοιόνδε τι, νεφέλην ἀπεικάσας Ἥρᾳ, παρήλιγξεν αὐτῷ. ὁ δὲ μιγεὶς τῇ νεφέλῃ ὡσανεὶ τῇ Ἥρᾳ, ἴσχει παῖδα Κένταυρον. ἀφ' ὃ τὸ τῶν Κενταύρων γένος. μετὰ δὲ θανάτου ἐλαβε δίκας παρ' αὐτοῦ ὁ Ζεύς, ποιήσας αὐτὸν ἐν τοῖς ταχυδρόμοις τρέχεσθαι μετὰ τῶν ἄλλων βίας ἐπὶ τροχοῦ σιδηροῦ. ὀρεσινόοισι.] τοῖς ἐν ὄρεσι διαιτωμένοις.

ἐκπάγλως.] ἐκπληκτικῶς. ὅ ἐστι κατὰ κράτος αὐτοὺς βιαπώλεσαν. καὶ μὴ τοῖσιν ἐγώ.] καὶ τούτοις μὴ ἐγὼ τοῖς περὶ τὸν Περίθουν. μεθομίλεον.] συναναστρεφόμην, συνεμαχόμην. τηλόθεν.] πόρρωθεν. μακρόθεν ὢν ἀπὸ τῆς Πύλου.

ἐξ ἀπίης γαίης.] ἐκ τῆς ἀλλοδαπῆς καὶ μακρὰν ἀπεχούσης γῆς. καὶ μαχόμην.] καὶ ἐπολέμουν. κατ' ἰμαυτόν.] κατὰ τὴν ἐμαυτοῦ δύναμιν. τοίνυν οἱ ἄν οὗτοι.] πρὸς ἐκείνους δὲ οὐδεὶς ἴσχυε τῶν νῦν ὄντων ἀνθρώπων. βροτοί.] ἄνθρωποι φθαρτοί, ὁ μεταφορὰ ἀπὸ τῶν ἐδισμάτων. ἐπιχθόνιοι.] ἐπίγειοι. χθὼν γὰρ ἡ γῆ. τ.] τέτων. οἷοι.] ὁποῖοι. μαχέοιτο.] μάχοιτο. καὶ μὲν μιν.] καὶ μὴν ἐμοῦ. βουλέων.] συμβουλεύων. ξείνιον.] ἥκοντα, ἐπάθοντο. τῇ ὑμέων.] καὶ ὑμᾶς. Αἰολίς ἡ διάλεκτος.

ἀγαθὸς πόρ ἐών.] καίτοι βασιλεὺς ὑπάρχων. ἡ ἀγαθὸς τὴν γνώμην. ἀμείνων, πρότερον. ἀποαίρεο.] ἀφαιροῦ. νόσφιν.] πόρρωθεν. ἡ διάλεκτος Ἰάνων. ἐα.] συγχώρει. ὡς οἱ πρῶτα.] ὡς αὐτῷ ἐξ ἀρχῆς. λόσαν.] παρίσχον. βάλε.] βάλοι. ὁριζέμεναι.] ὁρίζειν, φιλονεικεῖν. ἀντίβιον.] ἐξ ἐναντίας. ἐμμορε.] ἔλαχεν, ἔτυχεν. ὁμοίης.] ἴσης καὶ σὺ ἀνδρί. σπιπτοφόρος. Πῶς ἔστιν ὁ Νέστωρ ἔρημος; ἆρα δυνατόν τινα βασιλεύσαι χωρὶς σὺ τοῦ θεοῦ βουλῆς; καὶ ῥητέον ὅτι ἀληθῶς ἔστιν ἔρημος. οὐ γὰρ ἅπαντες παρὰ τοῦ Διὸς ἔχουσι τὸ σκῆπτρον, οὐδὲ τὴν ἀρχὴν ταύτην. ἀλλὰ μόνοι οἱ ἀγαθοί, σὺλόγως οὖν ἔφην ὅτι τὸ μὲν ἄρχειν ἀπὸ θεοῦ ἐστιν, οὐ μὴν τοι καὶ πᾶς ἄρχων διαβεβήμενος θεῷ. οὐδὲ ὁ βιαζόμενος τὴν ἀρχὴν θεόπτους τῷ θεῷ ὡς παραχρώμενος τῇ ἰδίᾳ ἐπιθυμίᾳ ἀπρεπῶς τοῦ θέου παραχωροῦντος αὐτῷ. καὶ ἀφροντιστοῦντος τοιούτου. ὥστε Ζεύς.] καὶ ὥστινι ὁ Ζεύς. δῶδε.] δέδεκα. ἐλώμη.] παρίσχει. κρατερός.] ἰσχυρός. ἔασι.] ὑπάρχεις. Θειὰ δέ σι.] καὶ Θειά σι. ὅτι σὺ Θέτιδος ἐὼν υἱὸς σὺ Νηρέως θυγατρός. αὐτὴ δὲ ἀθανάτου. ἀλλὰ ὄγε.] ἀλλ' οὗτος. φέρτερος.] ἰφθίμων. πλεόνεσσι.] πλείοσιν, ὅτι πλείονδε. τὸν μῆνιν.] τὴν σὴν ὀργήν. αὐτὰρ ἐγὼ γε.] ἐγὼ δέ. λίσσομαι.] λιτανεύω, παρακαλῶ. μεθέμεν.] μεθεῖναι, συγχωρῆσαι. χόλον.] ὀργήν. ὃς μέγα.] ὅτις μέγα. ἔρπος.] πρόρρημα, τέλος. τέλεται.] γίνεται, ἔξει. πολέμιος ἰκάνοι.] τοῦ πανταχοῦ πολεμίου. ἰφθίμων.] μεγάλως πρατῶν. κατὰ μοῖραν.] κατὰ τὸ πρόσωπον, κατὰ τὸ πρέπον. ἔειπες.] εἶπας, ἐλιξας. ἀλλὰ ὅτι.] ἀλλ' οὗτος.

ἐθέλει.] βούλεται. πάντεσσι.] ὑπὲρ πάντας. ἐμμεναι.] εἶναι. τουτέστι πάντων θέλει ὑπερέχειν. κρατέειν.] κρατεῖν βασιλεύειν. πᾶσι.] πᾶσι. σημαίνειν.] προστάσσειν. ἅτιν' ἐθέσθαι.] πρὸς ἃ δὲ θεσθῆναι. οἴω.] οἶμαι, ὑπολαμβάνω. ἦ δ' ἐμὸν.] ἦ δὲ αὐτὸν, ἀχμητὴν.] πολεμικὸν. ἔθεσαν.] ἐποίησαν. ἄλλοι ἐόντες.] ἀλεξητὰς ὄντες, ἀδάματος. τόνδε γε οἱ.] τούτου χάριν αὐτῷ. προβέβουσι.] προτρέχουσι, συνιᾶσιν. ἀνέδλια.] ὀβδέλλια. μυθήσασθαι.] λαπεῖν. ὁ δὲ λόγος, ἡ πολεμικὴ ἰσχὺς Ἀχιλλεὺς γνώμῃ τοῦ θεῶν διὰ τὸ προπετὴς εἶναι ἴδιόν τὸ ἀνεπίληπτον, καὶ πανῶς λέγει ὑμᾶς τοὺς βασιλέας. τόνδ' ἀρ.] τοῦτον δὲ δή. ὑποδλήδην.] ὑποβαλὼν τὸ ἴδιον λόγον Ἀχιλλεὺς καὶ μισολογήσας τὸν Ἀγαμέμνονος πρὶν ἢ σιωπήσαι αὐτὸς ἐπών. ὑμίλιτο.] ἐξ ἀμοιβῆς ἀπεκρίνατο. ἢ γάρ ἑπ.] ἔντος γὰρ αὖ. ὀφελές.] ἀοφελὲς. οὐτιδανὸς.] ὀδυνὲς λόγου ἄξιος. καλεοίμην.] καλοίμην

Κάρπισοι μὲν ἔσαν καὶ Καρτίστοις ἐμάχοντο
Φηρσὶν ὀρεσκώοισι, καὶ ἐκπάγλως ἀπόλεσσαν.
Καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθών,
Τηλόθεν ἐξ ἀπίης γαίης καλέσαντο γὰρ αὐτοί.
Καὶ μαχόμην κατ' ἐμαυτὸν ἐγώ, τοίνυσι δ' ἂν οὔτις
Τῶν οἳ νῦν βροτοί εἰσιν ἐπιχθόνιοι μαχέοιτο.
Καὶ μὲν μοι βουλέων ξείνιον, πείθοντό τε μύθῳ.
Ἀλλὰ πίθεσθε καὶ ὔμμες, ἐπεὶ πείθεσθαι ἄμεινον.
Μήτε σὺ τόν δ' ἀγαθὸς περ ἐὼν ἀπαίρεο κούρην,
Ἀλλ' ἔα ὡς οἱ πρῶτα δόσαν γέρας υἱὸς Ἀχαιῶν.
Μήτε σὺ Πηλέϊδη θέλε ἐριζέμεναι βασιλῆϊ
Ἀντιβίην, ἐπεὶ οὔ ποθ' ὁμοίης ἔμμορε τιμῆς
Σκηπτοῦχος βασιλεύς, ᾧ τε Ζεὺς κῦδος ἔδωκεν.
Εἰ δὲ σὺ καρτερός ἐσσι, θεὰ δέ σε γείνατο μήτηρ,
Ἀλλ' ὅγε φέρτερός ὄσσιν, ἐπεὶ πλεόνεσσιν ἀνάσσει.
Ἀτρεϊδὴ σὺ δὲ παῦε τὸν μῦθον, αὐτὰρ ἔγωγε
Λίσσομ' Ἀχιλλῆϊ μεθέμεν χόλον, ὃς μέγα πᾶσιν
Ἕρκος Ἀχαιοῖσι πέλεται πολέμοιο κακοῖο.
Τὸν δ' ἀπαμειβόμενος προσέφη κρείων Ἀγαμέμνων.
Ναὶ δὴ ταῦτά γε πάντα γέρον κατὰ μοῖραν ἔειπες.
Ἀλλ' ὁδ' ἀνὴρ ἐθέλει πόρρι πάντων ἔμμεναι ἄλλων.
Πάντων μὲν κρατέειν ἐθέλει, πάντεσσι δ' ἀνάσσειν,
Πᾶσι δὲ σημαίνειν, ἃ τιν' ὀ πείσεσθαι οἴω.
Εἰ δ' ἐμὶν ἀιχμητὴν ἔθεσαν θεοὶ αἰὲν ἐόντες,
Τὸνεκα οἱ πρόθεσσιν ὀνείδεα μυθήσασθαι.
Τὸν δ' αὖ ὑποβλήδην ἠμείβετο δῖος Ἀχιλλεύς,

Ἦ γάρ

Ἦ γὰρ κῳ σ' ἑταῖλός τε καὶ ὄτι σ' ἀνὸς καλεοίμλω,
Εἰσλη ζοι πᾶσ ἔργον ὑπ' ἐξέομαι ὀῆικῳ εἴπτις.
Ἄλλοισιμ σ' ἐ ταῦτ' ὦπτέλλεο, μὴ γὰρ ἔμοι γε
Σήμαιν', ὅ γὰρ ἔγωγ' ἔπι ζοι πείσεσθ οἴω.
Ἄλλο σὶ τοι ἐρέω υὸσ' ἐνὶ φρεσὶ βάλλεο σῆσι.
Χθρὶ μὲν ὅτι ἔγωγε μαχήζομαι εἵνεκα κόρης,
Οὔτε ζοί, ὅτε τῷ ἄλλῳ, ἐπεὶ μ' ἀφέλεσθέ γε σ' ὄντες.
Τῶν σ' ἄλλων, ἅ μοι ὄξὶ θοῇ παρὰ νηῒ μελαίνῃ,
Τῶν ὀκ ἂν πφρῖις ἀνελὼν ἀέκοντος ἐμεῖο.
Εἰσ' ἄγε μὶν πείρησαι ἵνα γνώωσι καὶ οἵδε.
Αἶψά τοι αἷμα κελαινὸν ἐρωήσει περὶ σ' ἀρῖ.
Ὣς τὼ γ' ἀνπβίοισι μαχεσαμένω ἐπέεσσιμ
Ἄνσ' ἴτλω. λῦσαν σ' ἀγορλὶ παρὰ νηυσὶ Ἀχαιῶν.
Πηλέϊλης μὲν ὧδ κλισίας καὶ νῆας εἴζας
Ἥϊε σὺν τε Μφοιπάτ', καὶ οἷς ἑτάροισιμ.
Ἀτρέϊλης σ' ἀῤ α νῆα θοὴν ἅλασδε πᾠρύσασῳ.
Ἐς σ' ἐρέτας ἑκρινεν ἑείκοσιμ, ὐν σ' ἑκατόμβυμ
Βᾶσε θεῷ, ἀνὰ σὲ Χρυσηίλα καλλιπάρθενον
Εἴσῳ ἄγων, ἦλ' ἀρχὸς ἔϐη πολύμητις Ὀδυσσεύς.
Οἱ μὲν ἔπειτ' ἀναβάντες ἐπέπλεον ὑγρὰ κέλεύθα.
Λαὸς σ' Ατρεί' ης ἀρλυμαίνεσθαι ἄνωγεν.
Οἵσ' ἀπελυμαίνοντο, καὶ εἰς ἅλα λύματ' ἔβαλλον.
Ἕρδον σ' Απόλλωνι τελήεσσας ἑκατόμβας
Ταύρων ἠσ' αἰγῶν πᾶ παὶ βιὴ ἀλὸς ἀτρυγέτοιο.
Κνίσση σ' ὀρανὸν ἷκεν ἑλισσομένη πόλὶ καπνῷ.
Ὣς οἱ μὲν τὰ πῴνοντο κῆ στρατὸν ὀσ' Αγαμέμνωμ
Λῆν' ἐριδος τλὴ πρῶτον ἐπκπείλησ' Αχιλλεύς.

Ἀλλ'

ἀ δέ σοι.] ἰαὐ δέ σοι. πατῦ ῥέγον.] ἀς πατῦ πρᾶγμα. ὑπαίξομαι.] ὑποχωρήσω. ἔτ]ιμην.] ὅπερ αὖ. ἐπεπείλλεο.] ἐπιτέλλου, πρόσασι. μὴ γὰρ ἐμοιγε.] ἐμοί γὰρ μή. σύμαινε.] πρόσασι. ἐγὼ γὰρ ὃ νομίζω πιθέσθαί σοι.
ἄλλο δέ τοι.] ἄλλο δέ σοι. ὄρίω.] ὄρῶ, λέξω. βάλλεο.] ἐμβάλλου, ἐνθοῦ. σῆσι.] σᾶις. μαχήσομαι.] μαχοῦμαι. οὔτε τῷ.] οὔτε τίνι ἄλλῳ. τὸ τῷ σημαίνει πάντα ὄνομα ἄρθρον, αὐτωνυμίαν, σύνδεσμον, αἰτιολογικὸν, ῥῆμα. ὄνομα μὴ οὔτας. οὔτε σοὶ οὔτε τῷ ἄλλῳ, ἐστι γὰρ τινί. ῥῆμα ἢ, Κύπλωψ τῇ πεὶ οἶνον. ἐστι γὰρ τὸ τῇ αὐτὶ τῦ λάβε.

ἄρθρον δὲ οὕτως. ὅτοι μὴ τάγ' ὄπιθεν Μαχάονι ταῦτα ἕοικε, τῷ Ασκληπιάδῃ. αὐτωνυμίαν ἢ, ὡς ἐν τῷ, τῷ μὲν ἐσάμενον. σύνδεσμον αἰτιολογικὸν οὕτως, τῷ σε κεὰ οὐ σίωσαμαι. ἐστι γὰρ διό. ὅταν μέντοι ἄρθρον σημαίνει ἐνικὸν, μόνως λοτικῆς ὀξὶ πῶσεως, κεὰ πεοισπᾶται. λυικὸν δὲ σύβάσεις κεὰ αἰτιατικῆς. κεὰ βαρύνεται τὸ αἰαντι. ἐπή μ' ἀφέλεσθε.] ἐπειδὴ ἀφείλεσθέ μοι αὐτὶς ἀφέλεσθε, κεὰ ὑβρίσατε ἑαυτὸς γάρ, οὐκ ἐμέ.
τῶν δ' ἄλλων.] τῶν δὲ λοιπῶν. ἅ μοι ἔξῖ.] ἅτινά μοι ὑπάρχει. θοῇ νηῒ.] παρὰ τῇ ταχυτάτῃ νηΐ. μελαίνῃ.] βαθείᾳ. ἢ τῇ πίσῃ κεχρισμένῃ.
τῶν.] τοῦτων. ὀκ αὖτι.] ὀδαμῶς αὖτι. φέροις.] νομίσοις, λάβοις. ἐλάῳ.] λαβὼν, ἢ ἀφειλόμενος. ἀέκοντος.] ἀκουντος, μὴ μὴ βουλομένου. ἐμεῖο.] ἐμοῦ. ἦλ' ἄγε μὶν.] ἴγε μὴν βούλει. πείρησαι.] πειράθητι. ἵνα γνώωσι καὶ οἵδε.] ὅπως αὖ μάθωσι καὶ οὗτοι.
αἶψά τοι.] ταχέως σοι. μέλαινον.] μέλαν. ὀρωήσει πόδὶ δουρί.] πόβιβρῶσεται τῷ δόρατι. ὡς τότε.] οὕτως, οὕτοι. ἀντιβίοισι.] ἐναντίοις. ὃ ἐστι φασὶ σπουδαίοις λόγοις. μαχεσαμένω.] μαχεσαμένοι. λυικῶς. ἐπέεσσι.] λόγοις. ἀντῆτην.] αὐτῆσαν. λῦσαν δέ.] ἔλυσαν δέ. ἀγορλὶ.] ἐκκλησίαν, συνέδριον. ἐπὶ κλισίας.] ὠδὶ τὰς σκηνάς. εἰσας.] ἰσοτοίχους. ἦϊε.] παρεγίνετο, ἐπορεύετο. σίῳ τε Μενοιτιάδῃ.] σιὼ τῷ Μενοιτίῳ Πατρόκλῳ, κεὶ τοῖς Μυρμιδόσι. πεχώρει δὲ τῶν λοιπῶν ἑταίρων τὸν Πάτροκλον, κατ' ὄρχλιν. ἄρα.] δή. νῆα.] ναῦν, πλοῖον. ἅλαδε.] ἐς πλὶν θάλασσαν. πρόίρυσι.] καθέλκυσον. ὃν δ' ἑρέτας.] ἐς αὐτλὶν δὲ κεὶ πωπλάτας. ἑκεῖνεν.] κατηρίθμησεν, ἐπελέξατο. ἕηοσιν.] ἵπποις. βῆσε.] ἐνεβίβασε, ἐνέβησεν. ἐν δέ.] ἐς αὐτλὶν δέ. αὐὰ δὲ Χρυσηίδα καλλιπάρηον.] αὐαγαγὼν δὲ κεὶ πλὶν καλοπρόσωπον Χρυσηίδα ἐς πλὶν ναῦν. ἔσῳ ἄγων.] ἐκάθισεν ἄγων τῷ πατρί. αὐὰ ἦϐη.] αὖθις δέ. ἀρχὸς.] ἡγεμὼν, ναύαρχος.
πολύμητις.] πολύβουλος, συνετός. οἱ μέν.] ἕτοι μέν. ἀναβαντες.] αὐαβάντες, ἐπιβαύτες. ἐπέπλεον.] ἔπλεον. ὑγρὰ κέλευθα.] πλὶν διὰ θαλάσσης ὁδόν. ἀπολυμαίνεσθαι.] ἀποκαθαίρεσθαι. αὖωγεν.] ἐκέλευσε, προσέταξεν. οἵλι.] αὐτοί δέ. ἀπελυμαίνοντο.] ἀπεκαθαίροντο. ἂς ἅλα λύματ' ἔβαλλον.] κεὶ ἐς πλὶν θάλασσαν τὰ λαθαίρσια ἔβαλλον. φύσει δὲ τὸ ὕδωρ σὶ θαλάσσης λαθαρτικόν ἐστιν. ἔρδον.] ἐπετέλουν, ἔθυον. τελέσσας.] τελάσας. παρὰ δίν'.] παρὰ τὸν αἰγιαλὸν σὶ θαλάσσης. ἀτρυγέτοιο.] ἀκαταπονήτου, πολλῆς, ἢ ὡς ἐνιοῦ φασι σὶ ἀκάρπου. ἑταίροισι.] τοῖς φίλοις. κνίσση δέ.] ἡ δὲ κνίσσα, ὅ ἐστιν ἡ αὐαθυμίασις. ἡ δὲ λίξις τέσσαρα σημαίνει, ὡς τῷ Πορφυρίῳ δοκεῖ, αὐτό τε τὸ λίπος. κεὶ τὸν ἐπίπλουν. κεὶ τὸ λιάρας, κεὶ πλὶν αὐαθυμίασιν.
ἦσιν.] παρεγίνετο. ἑλισσομένη.] παρειλουμένη τῷ ἀκαπνῷ. ὣς οἱ μέν.] οὕτως μὴ οὗτοι. τὰ.] ταῦτα. πίνοντο.] ἐνύργουν, ἐπρασσον. ἐπὶ στρατὸν.] κατὰ τὸ στρατόπεδον. λῆγε.] ἐπαύετο. ἔριδος.] φιλονεικίας. πλὶν πρῶτον.] ἰὼ τινα πρῶτον λάβει ἡ κατά. ἐπεπείλησ' Αχιλλῆϊ.] τῷ Αχιλλεῖ ἠπείλησε.

Ταλθύβιον καὶ Εὐρυβάτην.] ὀνόματα κύρια τῶν κηρύκων. τὼ οἱ ἔσαν.] οἵ τινες αὐτῷ ἦσαν. ὀτρυνέ.] σπουδάζει. παρὰ τὸ ὀτρύνω. θρᾴποντε.] ὑπηρέται. ὄρχεδον.] ἀπέρχεσθαι, λυσιτελῶς. κλισίην.] ἡ σκηνή. ἐλόντι.] λαβόντες. ἀγέμεν.] ἄγειν. ἐκ λιτέσθαι.] ἐκ τοῦ μὴ λῦσαι. μὴ λύσει.] μὴ παράσχῃ. ἢ λαμβάνειν λύσιν ἐπιτάσεως. ἕλωμαι.] ἀφέλωμαι, λάβω. ἑλὼν σὺν πλείονσι.] τὸ ὑ σὺν πλιόνεσσιν. οὐ τῷ ἑλὼν συντακτέον. ἀλλὰ τῷ ἕλωμαι. ἵν' ἢ μετὰ πολλῶν καὶ ἄλλων κτημάτων αὐτὴν ἀφαιρήσομαι. τό οἱ.] ὅπερ αὐτῷ. ῥίγιον.] φρικωδέστερον. καὶ χαλεπώτερον. ἔσαι.] γένηται. πρόϊεν.] πρόϊτε μετ. κρατερόν.] ἰσχυρόν, γενναῖον. ἐπιτέλλειν.] ἐπιτάττειν, ἐλέγχειν. τώ λε.] οὗτοι δὲ λυσιτελῶς. ἀέκοντε.] ἄκοντες, καὶ μὴ βουλόμενοι. βάτην.] ἔβησαν. ἐπερρώσαντο. ἐπιθάμενοι.] ἀφίκοντο, παρεγένοντο. σύρον.] κατέλαβον. κλισίης.] παρὰ τὴν σκηνήν. ὕμνεον.] καθεζόμενον. δὲ ἄρα τώγε.] δὲ λῦ τούτους. ἰδών.] θεασάμενος. γήθησεν.] ἐχάρη. τὼ βῆ.] ἐκεῖνοι μέν. ταρβήσαντε.] φοβηθέντες, λυσιτελῶς, διὰ τὴν ξιφολογίαν. αἰδομένω.] αἰδεσθέντες. ἡγήσαντο.] ἔγνωσαν. οὐλίτι μιν.] δὲ αὐτόν τι. προσεφώνεον.] προσεφθέγγοντο. δὲ λ' ὄρνυντο.] οὐδὲ αὐηρώτων. αὐτὰρ δ'.] ἔτος λέ. ἴσχανε.] ἴσοχάσατο, ἐνόησεν. ὄσσιν ἐνὶ φρεσίν.] ἐν ταῖς ἑαυτοῦ διανοίαις. φώνησέν τι.] ἐβόησε. καὶ ἔπεν. Διὸς ἄγγελοι ὀλὶ καὶ ἀνδρῶν.] αὐτῶν πάντων. κήρυκες.] ἄξιοι καὶ θεῶν ἄσυλοι γὰρ καὶ θεῖον τὸ γένος τῶν κηρύκων. Ἑρμῆς γὰρ μιγεὶς Πανδρόσῃ τῇ Κέκροπος θυγατρὶ ἔσχεν ὑὸν ὀνόματι Κήρυκα. ἀφ' οὗ τὸ τῶν κηρύκων γένος. ὡς ἱστορεῖ Πτολεμαῖος. ἢ ὅτι τὰς ἑορτὰς τῶν θεῶν ἀγγέλλουσιν. ἢ ὅτι ἀπὸ Ἑρμοῦ φωνὴν ἔχουσιν ἀγγελικὴν Διός. ἄασον ἴτε.] ἐγγὺς παραγένεσθε. ἴτε μοι ὔμμες.] κατ' ἀλήθειάν μοι ὑμεῖς. φιλοῦσι τὸ ὔμμες ὡς Αἰολικόν. εἰὰ ὔμμιν ὑπάρχει χάρις Κρονίωνι. ἐπάτησε.] αἴτιος. πεπαλιννημένος λέγεται δὲ γὰρ λῆ τὰς αἰτίας ἐφ' ἑτέρους μετάγειν. ὡς πώμα κατὰ τῆς βλεπομένης λίθος. ὃς σφῶϊ.] ὃς ὑμᾶς. προΐες.] ἐπέμπετε. λισσόμενος.] συγχωρήσατε. Πατρόκλειος.] αὐτὶ τοῦ Πάτροκλε. ἰσχηματίσθαι γὰρ τὸ ὄνομα ἐκ τῆς δοτικῆς Πάτροκλος συθήσεται, ἀλλὰ ἀπὸ τῆς Πατροκλῆς, ὡς Ἡρακλῆς ὦ Ἡράκλεις. ἔξαγε.] ἔξω τῆς σκηνῆς πόμπει. κάδ σφωΐν.] καὶ αὐτοῖς. ἄγειν.] ἀπάγειν. κήρυκ.] πλὴν Βρισηΐδος. τώλ' αὐτώ.] οὗτοι λ' αὐτοί. μάρτυροι.] μάρτυρες. ἴας ἡ διαλλήκτους. ἴσωμ.] ἴσωσαν, ὑπαρχέτωσαν. πρός τε θεῶν.] καὶ πρὸς τοὺς θεούς. μακάρων.] μακαρισμοῦ ἀξίων, εὐδαιμόνων. ἀπηνέως.] ἀπλῶς, χαλεπῶς, σκληρῶς. ἅ ποτε λ' αὖτε.] καί ποτε πάλιν. χρέω.] χρέα. ἀμοῖο.] ἐμοῦ. ἀεικέα.] ἀκοσμητικόν, χαλεπόν. λοιγόν.] ὄλεθρον. ἀμῦναι.] ἀποσοβῆσαι, ἀποστρέψαι. ἦγαρ αὖ.] οὕτως γὰρ αὖ. ὄγε.] ὅτῳ. ὀλοῇσιν.] ὀλεθρίοις. βάλε.] ἐνθουσιωδῶς ὁρμᾷ, ὅ ἐστι μάνεται. νοῆσαι.] προλογίσασθαι ἐνθυμηθῆναι. πρόσω καὶ ὀπίσω.] τὸ παρὸν καὶ τὸ μέλλον. τετάγμεθα ἐπὶ σοὶ προσποιῆσαι καὶ τὴν ἀρχὴν καὶ τὴν ἀπόβασιν ἢ πράγματος. ὅπως οἱ.] ὅπως αὐτῷ. σόοι.] σῶοι, ὑγιεῖς. μαχέοιντο.] μαχῶνται πολεμήσωσιν. ἐπεπείθετο.] ἐπείθοι. ἐκ' ἄγαγε.] ἐξάγαγε δέ. τώ λ' αὖτις.] οὗτοι ἦ πάλιν. ἴτην.] παρεγένοντο. ἦλ' αἰ νῦν' ἅμα τοῖσι γυνὴ κίεν.] ἡ Βρισηὶς ἅπασα καὶ μὴ βουλομένη ὁμοῦ τοῖς κήρυξιν ἐπορεύετο. ἄφαρ.] εὐθέως, ταχέως. ἑταίρων.] ἑταίρων, φίλων. νόσφι.] χωρίς. λασθέες.] χωριστέες. εἶν' ἐφ' ἁλός.] ὡδί τ' ἀγιαλὸν ἢ θαλασσης.

Ἀλλ' ἄγε Ταλθύβιόν τε καὶ Εὐρυβάτην προΐεπε,
Τὼ οἱ ἔσαν λήκυκε καὶ ὀτρυνῶ θρᾴποντε.
Ἔρχεσθον κλισίην Πηλεϊάδεω Ἀχιλῆος.
Χειρὸς ἑλόντ' ἀγέμεν Βρισηΐδα καλλιπάρηον.
Εἰ δέ κε μὴ δώσιν, ἐγὼ δέ κεν αὐτὸς ἕλωμαι
Ἐλθὼν σὺν πλείοσι, τό οἱ καὶ ῥίγιον ἔσαι.
Ὡς εἰπὼν πρόϊεν, κρατερὸν δ' ὑπὸ μῦθον ἔτελλε.
Τὼ δ' ἀέκοντε βάτην παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο,
Μυρμιδόνων δ' ἐπὶ τε κλισίας καὶ νῆας ἱκέσθην.
Τὸν δ' εὗρον παρά τε κλισίῃ καὶ νηῒ μελαίνῃ
Ἥμενον, οὐδ' ἄρα τώγε ἰδὼν γήθησεν Ἀχιλλεύς.
Τὼ μὲν ταρβήσαντε, καὶ αἰδομένω βασιλῆα
Στήτην, οὐδέ τι μιν προσεφώνεον, οὐδ' ἐρέοντο.
Αὐτὰρ ὁ ἔγνω ᾗσιν ᾗσι φρεσὶ φώνησέν τε.
Χαίρετε κήρυκες Διὸς ἄγγελοι, ἠδὲ καὶ ἀνδρῶν. †
Ἄσσον ἴτ', οὔτι μοι ὔμμες ἐπαίτιοι, ἀλλ' Ἀγαμέμνονι.
Ὅς σφῶϊ πρόϊει Βρισηΐδος εἵνεκα κούρης.
Ἀλλ' ἄγε διογενὲς Πατρόκλεες ἔξαγε κούρην,
Καί σφωΐν δός ἄγειν, τὼ δ' αὖτὼ μάρτυροι ἔστων
Πρός τε θεῶν μακάρων, πρός τε θνητῶν ἀνθρώπων,
Καὶ πρὸς τοῦ βασιλῆος ἀπηνέος, εἴποτε δ' αὖτε
Χρειὼ ἐμεῖο γένηται ἀεικέα λοιγὸν ἀμῦναι
Τοῖς ἄλλοις, ἦ γάρ ἀν ὃγ' ὀλοῇσι φρεσὶ θύει,
Οὐδέ τι οἶδε νοῆσαι ἅμα πρόσσω καὶ ὀπίσσω,
Ὅππως οἱ παρὰ νηυσὶ σόοι μαχέοιντο Ἀχαιοί.
Ὡς φάτο. Πάτροκλος δὲ φίλῳ ἐπιπείθετο θυμῷ.
Ἐκ δ' ἄγαγε κλισίης Βρισηΐδα καλλιπάρηον,
Δῶκε δ' ἄγειν, τὼ δ' αὖτις ἴτην παρὰ νῆας Ἀχαιῶν.
Ἣ δ' ἀέκουσ' ἅμα τοῖσι γυνὴ κίεν, αὐτὰρ Ἀχιλλεὺς
Δακρύσας ἑτάρων, ἀφαρ ἕζετο νόσφι λιασθείς,
Θῖν' ἐφ' ἁλὸς πολιῆς ὁρόων ἀπὸ οἴνοπα πόντον.

σεις. ασλιῆρι.] λινυῆρι, διὰ τὸν ἀφρόν. ὁρόων.] ὁρῶν, βλέπων. ἐπὶ οἰνοπα.] ὠδὴ τὸν μέλανα. πόντον.] τὴν θάλασσαν. ὑρήσατο.] ὕυξατο. ὀρεγνύς.] ἐκτείνας. ἐπά μι.] ἐπειδή μι. μινυνθάδιον.] ὀλιγοχρόνιον. ἰόντα.] ὄντα, ὑπαρχόντα. τιμὴν πάρ μοι.] τὴν τιμὴν δή μοι. ὄφελλεν.] ὤφειλεν. Ολύμπιος.] ὁ τὸν Ὄλυμπον κατοικῶν Ζεύς. ὁ ἢ Ολυμπος ὄρος Μακεδονίας, ἱδρὸν οἰκητήριον τῶν θεῶν, ἀλληγορικῶς δὲ ὁ οὐρανός. ἐγγυαλίξαι.] ἐγχειρίσαι, παρασχεῖν. ὑψιβρεμέτης.] ὁ ἐν ὕψει ἔχων, ὅ ἐστι βροντῶν. βρέμω ἢ πυρίως ὁ ἐκ τοῦ πυρὸς ἦχος. ὀλί μι τυτθόν.] ὀλίγον μοι. ἔτισιν.] ἐτίμησεν. ἦ γὰρ μ' Ἀχιλλεύς.] ὁ Ἀγαμέμνων γάρ μοι. ἑλὼν γάρ.] ἀφελόμενος γὰρ τὴν τιμὴν μου ἔχει. ἀπήμονα.] ἀφορίσας, ἀφελόμενος. λακρυχέων.] λάκρυα χέων, κλαίων. πότνια.] σεβασμία, ἔντιμος. ὑμίνει.] καθιζομένη. ἐν βένθεσιν.] ἐν τοῖς βάθεσιν. πατρὶ γέροντι.] τῷ Νηρεῖ. τὸν δὲ Νηρέα οἱ Ποιηταὶ παρισῶσιν ἡμῖν λάμενα θαλάσσιον. ἀφ' ὃ καὶ Δωρίδα θ' Ὡκεανοῦ αἱ Νηρηίδες. καρπαλίμως.] ταχέως. αὐτὰρ.] αὐτὴν δή. ὑΰτ' ὀμίχλη.] ἐστὶ δὲ ὁμίχλη, ὁ ταχὺς καὶ ὑγρότατος ἀήρ. καί ῥα.] καὶ δή. παρὰ θιν.] ἐμπροσθεν. αὐτεῖο.] αὐτοῦ. καθέζετο.] ἐκαθίζετο. λακρυχέοντος.] λάκρυα χέοντος. χειρί τε μιν.] καὶ τῇ χειρὶ αὐτόν. κατέρεξε.] κατέψηξε. παθμαίνουσιν. ἔπος τ' ἔφατ' ἐκ τ' ὀνόμαζε.] τόν τι λόγον ἦπε καὶ τὰ μέρη αὐτῆ διεξῆλθε. ἴκετο.] κατέλαβεν. πὶν θοός.] λύπη. ἰδυίῃσι.] ἐξεπιτηδεύσει.

μὴ ἰδυίῃ.] μὴ ἐμπείρῳ. νόῳ.] τῇ διανοίᾳ. ἴδομεν.] αὐτὶ τοῦ, φθῶμεν, μάθωμεν. ἄμφω.] ἀμφότεροι, ἐγώ τε ἡ Θέτις καὶ σὺ ὁ Ἀχιλλεύς. βαρυστονάχων.] βαρέως στενάζων. εἶδεν.] εἶλκυσε, ἐπίασε. τίπτε τοι.] τί δή σοι. ἀγορεύω.] λέγω. ὠχόμεθ' ὅτε Θήβην.] παρεγενόμεθα εἰς τὰς Θήβας. νῦν δὲ λέγει τὰς Υποπλακίους. ὧν ἐβασίλευεν Ητίων ὁ Ανδρομάχης πατήρ. Κίλικες ἔθνος βαρβαρον ἡ ὑπὸ τὸ Πλάκιον ὄρος Θήβης. τούτων ἦρχε τῶν Κιλίκων Ητίων, ἔχων υἱοὺς ἑπτὰ, δυνατίφα δὲ τὴν Ανδρομάχην τὴν γαμηθεῖσαν Εκτορι τῷ υἱῷ Πριάμου, κατὰ δὲ τοὺς Τρωϊκοὺς πολέμους, ἐπιστρατεύσας Αχιλλεὺς τῇ Θήβῃ καὶ τὴν πόλιν πορθήσας τόν τε Ητίωνα αὐθὶς σὺν τοῖς τέκνοις. μεθ' ὃς Δυρνησσὸν πορθήσας καὶ τὴν πόλιν ἀχλύν, εἰχμάλωτον ἤγαγε, ἵν Δυρνησσοῦ ᾖ, Βρισηίδα, ἣν γέρας αὐτῷ ἐψηφίσαντο Ελληνες. ἀπὸ ἧς δὲ Χρύσης, Χρυσηίδα τὴν Χρύσου τοῦ ἱερέως τοῦ Απόλλωνος θυγατέρα. διὸ Αγαμέμνων κλέψας λαχὼν, τῷ πατρὶ ἀποπέμπει, ἐξ οὗ ὀργισθεὶς ὁ θεὸς ἐπιπέμψε τοῖς Ελλησι λοιμὸν, ὅ ἐστι λοιμικὴν νόσον. ἵνιοι δέ φασιν ὅτι ἡ Χρυσὶς ἐκ Θηβῶν ἐλήφθη. δὲ γὰρ Χρύσης φασὶν οὔσης πολιχνίου. ἀτειχίστου καὶ σύτελοῦς, ὡς ἐν ἀσφαλεστάτῃ καὶ μέσῃ τῇ Θήβῃ, οἱ ἀπ' αὐδὶ προσιέρυηκότες ἦσαν διὰ τὸν πόλεμον. ἦσε γάρ ἐστι Θῆβαι. αἱ Υποπλάκιοι, ὧν ἐνταῦθα μέμνηται καὶ ἐν τῇ ζ'. καὶ αἱ Καδμεῖαι, ὧν μέμνηται ἐν τῇ δ'. καὶ ἐν τῇ ε'. καὶ αἱ δὲ Αἰγύπτιαι, ὧν μέμνηται ἐν τῇ ι'. Θῆβαι ἢ αὐταὶ εἰσὶ τὸ νῦν Αφραμίτιον καλούμενον. ἰβλὼ.] ἴφθιμα, μεγάλα, καὶ θαυμαστά. διεπραθόμην.] διεπορθήσαμεν. καὶ ἤγομεν.] καὶ ἠγάγομεν. καὶ τὰ μὲν.] καὶ ταῦτα μὲν. δὴ δάσαντο.] καλῶς ἐμέρισαν. μετὰ σφίσιν.] ἐν αὐτοῖς. ἐκ δ' ἕλον.] ὡς ἀκαίρετον ἥλαβον καὶ ἔλαχον αὐτοῖς.] τάτον. ἐπὶ μάλα οἱ φίλος ἦεν.] ἐπειδὴ πάνυ αὐτῷ προσφιλὴς ὑπῆρχεν. ἦκεν.] ἐφῆκεν, ἐπέμψεν.

Πολλὰ δὲ μητρὶ φίλῃ ἠρήσατο χεῖρας ὀρεγνύς
Μῆτερ, ἐπεὶ μ' ἔτεκες γε μινυνθάδιόν περ ἐόντα,
Τιμὴν πάρ μοι ὄφελλεν Ολύμπιος ἐγγυαλίξαι
Ζεὺς ὑψιβρεμέτης. νῦν δ' οὐδέ με τυτθὸν ἔτισεν.
Ἦ γάρ μ' Ἀτρεΐδης εὐρυκρείων Αγαμέμνων
Ἠτίμησεν. ἑλὼν γὰρ ἔχει γέρας, αὐτὸς ἀπούρας.
Ὣς φάτο δακρυχέων. τοῦ δ' ἔκλυε πότνια μήτηρ,
Ἥμενη ἐν βένθεσιν ἁλὸς παρὰ πατρὶ γέροντι.
Καρπαλίμως δ' ἀνέδυ πολιῆς ἁλὸς, ἠΰτ' ὀμίχλη.
Καί ῥα πάροιθ' αὐτοῖο καθέζετο δακρυχέοντος.
Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε.
Τέκνον, τί κλαίεις, τί δέ σε φρένας ἵκετο πένθος;
Ἐξαύδα, μὴ κεύθε νόῳ, ἵνα εἰδομεν ἄμφω.
Τὴν δὲ βαρυστονάχων, πόδας ὠκὺς Αχιλλεύς.
Οἶδα, τίπτε τοι ταῦτ' εἰδυίῃ πάντ' ἀγορεύω;
Ὠιχόμεθ' ὅτε Θήβην ἱερὴν πόλιν Ηετίωνος.
Τὴν δὲ διαπράθομέν τε, καὶ ἤγομεν ἥθάδε πάντα.
Καὶ τὰ μὲν, εὖ δάσαντο μετὰ σφίσιν υἷες Αχαιῶν.
Ἐκ δ' ἔλον Ατρεΐδῃ Χρυσηΐδα καλλιπάρηον.
Χρύσης δ' ἦλθ' ἱερεὺς ἑκατηβόλου Απόλλωνος,
Ἦλθε θοὰς ἐπὶ νῆας Αχαιῶν χαλκοχιτώνων,
Λυσόμενός τε θύγατρα, φέρων τ' ἀπερείσι' ἄποινα.
Στέμματ' ἔχων ἐν χερσὶν ἑκηβόλου Απόλλωνος +
Χρυσέῳ ἀνὰ σκήπτρῳ, καὶ ἐλίσσετο πάντας Αχαιούς.
Ἀτρεΐδα δὲ μάλιστα δύω κοσμήτορε λαῶν,
Ἐνθ' ἄλλοι μὲν πάντες ἐπουφήμησαν Αχαιοί,
Αἰδεῖσθαί θ' ἱερῆα, καὶ ἀγλαὰ δέχθαι ἄποινα.
Ἀλλ' οὐκ Ατρεΐδῃ Αγαμέμνονι ἥνδανε θυμῷ,
Ἀλλὰ κακῶς ἀφίει, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλε.
Χώομαι σ', ὦ γέρον, πάλιν ὤχεο. τοῖο δ' Απόλλων
Εὐξαμένῳ ἤκουσε, ἐπεὶ μάλα οἱ φίλος ἦεν.
Ἧκε δ' ἐπ' Αργείοισι κακὸν βέλος. οἱ δὲ νυ λαοὶ

Θνῄσκον

οἱ δ' νυ λαοί.] οἱ ἢ δὴ ὄχλοι. θυῆσκον.] ἀπέθνησκον. ἐπαλλήλοις, πυκνοῖς. παύετο.] ἐπαύετο. χῶ.ὡς ὅλον τὸ στράτευμα. ἄμμι δέ.] ἡμῖν δέ. σὺ ἀλλός.] ἀκεραίως ἐπιστάμενος. ἐπάτσιο.] Ἀπόλλωνος, τοῦ μαντεύσθαι βάλλοντος. ἓξ τοξικῶ. κιλόμεθα.] κινεῖσθαι. ἱλάσκεσθαι.] βιλεύεσθαι, βιυμβιβίβεσθαι. Ἀράονα.] τὸν Ἀγαμέμνονα. χόλος λάβεν.] ὀργὴ κατέλαβεν. αἶψα δέ.] ταχέως δέ. ἠπείλησεν.] ἐπηγγείλατο. ἐλίωπες.] μελανόφθαλμοι. ἑλικὸν γὰρ κατὰ διάλεκτον τὸ μέλαν. ἢ οἱ ἑλικοειδῶς τὰς ὄπας κινοῦντες. τετίηται, οἱ τοὺς ὀφθαλμὰς σὺν εἰδῶς. δῶρα.] νεῶν θυσίας.

Θνῆσκον ἐπασσύτεροι. τάδ' ἐπώχετο κῆλα θεοῖο
Πάντη· ἀνὰ στρατὸν δῦρωὶ Ἀχαιῶν. ἄμμι δὲ μάντις
Εὖ εἰδὼς ἀγόρευε θεοπροπίας ἑκάτοιο.
Αὐτίκ' ἐγὼ πρῶτος κελόμην θεὸν ἱλάσκεσθαι,
Ἀτρεΐωνα δ' ἔπειτα χόλος λάβεν. αἶψα δ' ἀναστὰς,
Ἠπείλησεν μῦθον, ὃ δὴ τετελεσμένος ἐστί.
Τὴν μὲν γὰρ σὺν νηῒ θοῇ ἐλίκωπες Ἀχαιοὶ
Ἐς Χρύσην πέμπουσιν, ἄγουσι δὲ δῶρα ἄνακτι.
Τὴν δέ, νέον κλισίηθεν ἔβαν κήρυκες ἄγοντες
Κούρην Βρισῆος, τὴν μοι δόσαν υἱες Ἀχαιῶν.
Ἀλλὰ σὺ εἰ δύναταί γε, πρόφρων παιδὸς ἕπος,
Ἔλθὸν ὄλυμπόνδε, Δία λίσαι, εἴποτε δή τι
Ἢ ἔπει ὤνησας κραδίην Διός, ἠὲ καὶ ἔργῳ.
Πολλάκι γάρ σέο πατρὸς ἐνὶ μεγάροισιν ἄκουσα
Εὐχομένης, ὅτ' ἔφησθα κελαινεφέϊ Κρονίωνι
Οἶον ἐν ἀθανάτοισιν ἀεικέα λοιγὸν ἀμῦναι,
Ὁππότε μιν ξυνδῆσαι ὀλύμπιοι ἤθελον ἄλλοι,
Ἥρη τ', ἠδὲ Ποσειδάων, καὶ Παλλὰς Ἀθήνη.
Ἀλλὰ σὺ τόν γ' ἐλθοῦσα θεὰ, λύσαο δὲ σμῶδιγξ,
Ὦκα ἑκατόγχειρον καλέσασ' ἐς μακρὸν ὄλυμπον,
Ὃν Βριάρεων καλέουσι θεοί. ἀνδρῶν δέ τε πάντες
Αἰγαίων. ὃ γὰρ αὖτε βίην ὅ πατρὸς ἀμείνων,
Ὃς ῥα παρὰ Κρονίωνι καθέζετο πύκα γαίων.
Τὸν, καὶ τρόμεσσαν μάκαρες θεοί, ὅσσε τ' ἔλυσαν.
Τῶν νῦν μιν μνήσασα, παρέζεο, καὶ λάβε γόνυ,
Αἴκεν πως ἐθέλῃσιν ὑπὲρ Τρώεσσιν ἀρῆξαι.
Τοὺς δὲ, κῆρ πρύμνας τε, καὶ ἀμφ' ἅλα ἕλσαι Ἀχαιοὺς

Κτεινομέ-

Ἥρη τ' ἠδὲ Ποσειδάων καὶ Παλλὰς Ἀθήνη.] γράφεται, καὶ Φοῖβος Ἀπόλλων. Ζεὺς γὰρ παραλαβὼν τὸν ἐν οὐρανῷ διείπησιν, πρίαται τῇ παῤῥησίᾳ ἐχρῆτο. πολλὰ κἀθάλη διαπραττόμενος Ποσειδῶν δὲ καὶ Ἥρα, καὶ Ἀπόλλων, καὶ Ἀθηνᾶ ἐβούλευτο αὐτὸν δήσαντες ὑποτάξαι. Θέτις ἡ ἀπόσασα παρὰ τὸ πατρὸς Νηρέως, ὧν γῆφ μαύτις, τῷ κατὰ Διὸς ἐπιβουλὴν, ἑσπεύσει πρὸς αὐτὸν, ἐπαγομένη Αἰγαίωνα φόβητρον τῶν ἐπιβουλευόντων θεῶν. ὧν ἡ θαλάσσης δαίμων οὗτος. καὶ τὸν πατέρα Ποσειδῶνα διατεθράβηνεν. ἀκούσας δὲ ὁ Ζεὺς Θέτιδος, τῷ μὴ Ἥρᾳ, ἐν τοῖς κατ' αὐτοῦ δεσμοῖς ἐκρέμασε. Ποσειδῶνι δὲ καὶ Ἀπόλλωνι, τῷ παρὰ Λαομέδοντι δυτέκαν ὑφῄσατο. τῇ δὲ Θέτιδι, τῷ Ἀχιλλέως τιμῷ ὡς τὰ μιτάταῦτα, ἐταμόσαντο ἰσορρεῖ Δίλυμος. ὑπελύσαο.] βάλε, ἔλυσας. ὦπα.] ταχέως, σπουδάως. ἑκατόγχειρον.] ἑκατοντάχερα Αἰολικῶς. τὸς ἑκατοντάχειρας ἢ, γράφει Ἡσίοδος οὐρανοῦ καὶ γῆς γόνος. μακρόν.] μέγαν. ὃν Βριάρεων καλέουσι θεοί, ἀνδρες δέ τε πάντες Αἰγαίων.] τὸ πλῆθος, Αἰγαίωνα. τῶν δὲ δυνυάμων, τὸ μὴ πρότερον ὄνομα, Ὄμβρος ἐς θεοὺς ἀναφέρει. τὸ δὲ δεύτερον, ἐς ἀιθρώπους, ὡς καὶ τὸ, Χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ, Εὔμηδον. καὶ πρὸ τῦ ποταμοῦ, ὃν Ξάνθον καλέουσι θεοί, ἄνδρες δὲ, Σκάμανδρον. ὁ γὰρ αὖτε.] οὗτος γὰρ δή. βίη.] βίᾳ, δυνάμει. ὃ πατρὸς.] τοῦ ἰδίου πατρὸς. ἀμείνων.] ἰσχυρότερος, βελτίων. ὅς ῥα.] ὅστις δή. Κρονίωνι.] Κρόνου παιδὶ, Διΐ. πύκα γαίων.] τῇ αὐτοῦ δόξῃ γαυριῶν, καὶ σιμμυνόμενος. ὑπέδεισαν.] ἐφοβήθησαν. ὃ δὲ τ' ἔλυσαν.] τὸ πλῆρες, ὅτι ἔλυσαν. τῶν νῦν μιν.] τούτων δὴ ἕνεκα τῶν παρόντος αὐτὸν μνήσασα.] ὑπομνήσασα. παρέζεο.] παρακαθέζου. καὶ λάβε γόνυ.] τῶν γουνάτων πράτησον. αἴκεν πως.] εἰ πως. ἐθέλησι.] βουληθῇ, θελήσῃ. ὦδε Τρώεσσιν ἀρῆξαι.] ἐπιβοηθῆσαι τοῖς Τρωσί. τοὺς δὲ.] τὰς Ἕλληνας, κατὰ πρύμνας.] τὰς ναῦς. ἀπὸ

μέσου

μέρος φησὶ πρύμνα γὰρ μέρος τῆς νεὼς τὸ ἔσχατον. ηκὲ ἀμφ' ἄλα.] ηκὲ περὶ τὴν θάλασσαν. ἕλσας.] συνελάσας, συγκλείσας. κτεινομένους.] ἀναιρουμένους, φονευομένους. ἵνα παύτες ἐπαύρωνται βασιλῆος.] ἵν' ἀπολαύσωσι πάντες τῆς ἀβουλίας τοῦ βασιλέως τετίσῃ, ἵνα ἀπόλωνται διὰ αὐτόν. γνῷ.] γνωρίσῃ, μάθῃ. ἰὼ ἄτλω.] τὴν ἰλίαν ἀβουλίαν ηκὲ βλάβην. ὅτ' ἄριστον.] ὅτι τὸν ἄριστον. αὐτὸ τοῦτ', ἐμὲ τὸν Αχιλλέα. σὺλλιτίσε.] κατ' οὐδὲν ἐτίμησεν. ἐμάετο.] ἀπεμέινατο. ἀκηρυχίσσα.] ἀκηρύσσουσα, κηλαίσα. τί νυ.] διατί δή σε αὐθρέφον. αἰνὰ τινοῦσα.] ζῶσα κακῶς γνήσασα. αἶθ' ὄφελες.] εἴθε ὄφελες. ἴσιν ἐπίῤῥημα σύντιμον. ἀλλάπρυτο.] αὖευ ἀκηρύκου, ἄλυτος. ἀπήμων.] ἀβλαβής. ἐπεὶ νύ τοι.] ἐπειδή σοι. αἶσα.] ἁρμαμένη, μοῖρα. μίννυθα.] ἐπ' ὀλίγον χρόνον. ἅμα.] ὁμῶ. ὠκύμορο.] ταχυθανάτου. ὀίζυρός.] ἐπίπονος, ταλαίπωρος, ἄθλιος. πέρι παύτων.] ἀντὶ τούτων πάντας αὐθρώπους. ἔπλεο.] ἐγένου. Λέγεται γὰρ τὴν Θέτιν παρὰ Διὸς μαθεῖν τὰ περὶ Αχιλλέως. ὅτι εἰ μὴ μένη ἐν τῇ Φθίᾳ μὴ συμπολεύσας τοῖς Ελλησιν ἐς τὴν Ιλιον, πολλὴ μὲν ἔσται αὐτῷ ζωὴ, ἀόλοξος δέ. εἰ δὲ συνέλθοι αὐτοῖς ἔσται ὀλιγοχρόνιος μὲν, ἀλλὰ ἀοίδιμος. ηκὲ σύκλεής. ὅθεν ὡς προειδυῖα ἡ Θέτις τοῦτο, ὦν αὐτὸν παραθεμένη ἐς τὸν Λυκομήδους παρθενῶνα ὡς κόρην ἐν τῇ Σκύρῳ. ἡ δὲ Σκύρος μία ἦν τῶν Κυκλάδων. τῷ σε.] διὸ δή σε. λιακῇ αἴσῃ.] κακῇ μοίρᾳ. τέκεν.] ἔτεκεν, ἐγέννησε. ἐν μεγαίροισιν.] ἐν τοῖς οἴκοις. ὀρέουσα.] λέξουσα, ἀπαγγελοῦσα. τορπηβαίνῳ.] τρωμένῳ ηδωνοῖς, ἢ καταγωνιζομένῳ τοὺς ἐναντίους ηκὲ ῥέποντι ηδωνοῖς. ἐμμ.] ἀπειμι, περιόμαι. προπορισπωμένως ἢ ἀναγνωστέον. ὡ ἢ ὀξυτόνως, ἵνα εἰ τὸ ὑπάρχω ἡ λέξις. ἀγαύνιφον.] ἢ λίαν νιφόμενον τὰ ὑπὸ τοῖς νίφεσι μέρη. τὰ γὰρ ἄκρα ἢ Ολύμπου, ὡς ὑπόρφοφος, ηκὲ ὑπόνιφος. οὕτε νίφεται, ὅτε κατομβρᾶται. κατ' αὐτὸ ἢ ποιητὴν λέγοντα, Οὔλυμπόν θ' ὃν φασι θεῶν ἕδος ἀσφαλὲς αἰεὶ Εμμεναι, ὅτ' οὔτε τι χεῖμα ἐπιπίλναται, ἀλλὰ μάλ' αἴθρη πέπλαται αὔρηφι λευκή. ἐπισέρομαι δὲ αἴγλη. ἀγαύνιφον οὖν ἤτοι ἢ πάνυ καταφορούμενον. ἢ ὅλως. Αἶπος πίθηται.] ἐὰν πεισθῇ. ὠκυπόροισι.] ταχέως πλέουσαις. μίννι.] ὀργίζῃ. πάμπαν.] παντελῶς, πάνυ. ἐς Ωκεανόν.] παρὰ τὸν Ωκεανόν. ὁ ἢ Ωκεανὸς ποταμός ἐστι καθ' Ομηρον. ἀμύμονας.] ἀμωμήτους, ἀγαθοὺς, ἢ ἀψόγους. Αἰθιοπῆας.] Αἰθίοπας. χθιζός.] χθές. μετὰ δαῖτα.] ὑδὲ συνοχίαν. ἔποντο.] ὑπολύθησαν. ἰκάνει.] παραγινήσεται, ἔλθη. ὄλυμπόν δε.] ὡς ἢ ὄλυμπον. Διὸς ποτί.] πρὸς τὸ ἢ Διός. χαλκοβατές.] ἰσχυρῶς βεβηκός, στερεόν. δῶ.] δῶμα, οἰκίαν. τὸ ἢ πάθος ἀποκοπῇ. γνυάσομαι.] λιταυδύσω, γονυπετήσω. πείσεσθαι.] πεισθῆναι. ὡς ἀμφίβολον ἢ αὐτό φησι. διότι ἤδει τὸ αὐτοπαθὲς τῆς Ηρας. ὣς ἄρα.] ὅτως, δή. φωνήσασα.] ἀποφησαμένη. ἀπιθήσατο.] ἀπίθει, ἀπῆλθεν. ἑλικτ.] κατελικτῶν. αὐτ.] αὖτις ἢ αὐτόθι ἀπὸ ἢ τόπου. χωόμενον.] λυπούμενον. ἀγχομένου. ἰϋβώνοις.] σύζωσις, ἑλκῶσι καὶ συσφίγξι, ἀφ' ἧς συεσθῆς, ἀπὸ μέρους. τὴν ῥα.] ἵν τινα δή. βιῇ.] βίᾳ, λυναίμει, μετὰ βίας. ἄκοντος.] ἄκοντι, μὴ βουλομένῳ. ἀπήνυρων.] ἀφέλοντο. αὐτῷ Οὐλυσσῆς.] ὁ ἢ Οὐλυσσεὺς ἐν τοσούτῳ δὲ Χρύσην. ἐς Χρύσην. ἵκανε.] παρεγένετο, ἐφάνη. οἵ γ' ὅτε.] ὅτοι ἢ ὁπότε. ἱερὰν, μεγάλην. λεμένος.] ἢ αἰγιαλὸν. πολυβενθέος.] πολὺ βάθος ἔχοντος βαθυτάτου. ἱστία.] τὰ νηὸς ἡ ὀθόνη, ὅ ἐστι τὸ ἀρμενον, ἱστίον λέγεται, ἱστὸς ἢ, τὸ μέγα ξύλον τὸ καταρτίον λεγόμενον ὑπὸ ἢ ναυτικῶν. στείλαντο.] συνέστειλαν, καθεῖλον. θέσαν.] ἔθηκαν. ἱστοπόδην.] τῇ ὑποδοχομένῃ ἢ ἱστὸν ἱστοπόδην, λέγει ἢ τῷ κατὰ πρύμναν μέχοντι ξύλῳ, καθ' ὃ κλίνεται ὁ ἱστός. πήλασαν.] προσεπέλασαν. προσήγαγον. μετωνυμία τετίσται πιλαστῶσαι ἐποίησαν. πρυτόνοισι.] τοῖς πρώτοις μίνοις πρόμοις, οἵ τινες ἢ ἱστὸν περιτάνυσιν ἵνα ἢ ὀρθὸς ὑφίστηται.] ἐνδήσαντες, χαλάσαντες. παρπαλίμως.] ταχέως

Κτεινομένους, ἵνα παύτες ἐπαύρωνται βασιλῆος,
Γνῷ δὲ καὶ Ατρέιδης εὐρυκρείων Αγαμέμνων
Ἣν ἄτλω. ὅτ' ἄριστον Αχαιῶν οὐλὴν ἔπεσχεν.
Τὸν δ' ἠμάετ' ἔπειτα θεὰ πὴ δ' ἀκηρύκετο βουλὴ,
Ὤ μοι τέκνον ἐμὸν. τί νύ σ' ἔτρεφον αἰνὰ τεκοῦσα;
Αἶθ' ὄφελες παρὰ νηυσὶν ἀδάκρυτος, καὶ ἀπήμων
Ἧσθαι. ἐπεὶ νύ τοι αἶσα μίνυνθά περ, ὄπι μάλα δηρὸν.
Νῦν δ' ἅμα τ' ὠκύμορος, καὶ οἴζυρός περὶ πάντων
Ἔπλεο. τῷ σε κακῇ αἴσῃ τέκον ἐν μεγάροισιν.
Τόν δὲ τοι ἐρέουσα ἔπος Διὶ τερπικεράunῳ
Εἶμ' αὐτὴ πρὸς Ὄλυμπον ἀγάννιφον, αἴκε πίθηται.
Ἀλλὰ σὺ μὲν νῦν νηυσὶ παρήμενος ὠκυπόροισιν,
Μήνι' Αχαιοῖσιν. πολέμου δ' ἀπέχεο πάμπαν.
Ζεὺς γὰρ ἐπ' Ὠκεανὸν μετ' ἀμύμονας Αἰθιοπῆας
Χθιζὸς ἔβη μετὰ δαῖτα. θεοὶ δ' ἅμα πάντες ἕποντο.
Δωδεκάτῃ δέ τοι αὖθις ἐλεύσεται Ὄλυμπόν δε.
Καὶ τότ' ἔπειτά τοι εἶμι Διὸς ποτὶ χαλκοβατὲς δῶ
Καί μιν γνοάσομαι. καί μιν πείσεσθαι οἴω.
Ὣς ἄρα φωνήσασ', ἀπέβησετο. τὸν δ' ἔλιπ' αὐτοῦ,
Χωόμενον ἦτορ θυμοῦ εὐζώνοιο γυναικός,
Τήν ῥα βίη ἀέκοντος ἀπήνυρον. αὐτὰρ Οδυσσεὺς,
Ἐς Χρύσην ἵκανεν ἄγων ἱερὴν ἑκατόμβην.
Οἱ δ' ὅτε δὴ λιμένος πολυβενθέος ἔντὸς ἵκοντο,
Ἱσία μὲν σείλαντο, θέσαν δ' ἐν νηὶ μελαίνῃ.
Ἱστὸν δ' ἱστοδόκῃ πείλασαν προτόνοισιν ὑφάντες,
Καρπαλίμως τήνδ' εἰς ὅρμον προέρυσαν ἐρετμοῖς.
Ἐκ δ'

ὡς ἕρμον.] ὡς τὸν λιμένα, ἀπὸ τ῀ ὁρμᾶν ηγουν ἵστασθαι ἐν αὐτῷ τὰς ναῦς. προὔρυσαν.] προσάλυσαν, προσήγαγον. ὁλκ῀μοῖς.] ἀρχαίοις, ἀποπλασίοις. ἐν δ' σύναις.] τὰς ἀγκύρας, νῦν λέγει τὰς σιδηρᾶς. παρὰ τὸ σύνειρειν τὴν ναῦν χαλωμένας εἰς τὸ ὕδωρ, ηγουν ποιεῖν ἵστασθαι. ῥίζα δὲ σημαίνει ἡ λέξις παρὰ τῷ Ποιητῇ τὴν πόιτλω. ὡς ὅταν λίγη σύνῃ ἐνὶ μαλακῇ. τὴν ἄγκυραν ὡς νεῶν. ἐν δ' σύναις ἐβαλον. τὴν διατριβήν. ὡς τὸ, ὄθι φασὶ Τυφωέως ἐμμεναι σύναις. ἔβαλον.] βίβαλον, ηγουν καθῆκαν. πρυμνήσια.] τὰ ἀπόγεια σχοινία. οἷς ἐν σ῀ πρύμνης προσδίσμασι τὴν ναῦς πρὸς τὴν γῆν. ἐν ᾗ ηγουν αὐτοὶ βαίνουν.] βίβανον ᾗ ηγουν αὐτοί. ὑδὲ ῥιγμῖνι.] ὑδὲ τῷ αἰγιαλῷ. οὕτως ᾗ ἄρηται ἀπὸ τ῀ παραῤῥήσσεσθαι αὐτῷ τὰ νύματα. ἐν ᾗ Χρυσηὶς νηὸς βῆ.] βίβη δὲ ηγουν ἡ Χρυσηὶς σ῀ νηός. ποντοπόρειο.] σ῀ τὸν πόντον πορώσης, θαλασσοπλόου. πολύμητις.] πολύβουλος, συνετός.

ἐν χροὶ τίθει.] ἐν ταῖς χροὶ τ῀ παρὸς ἰλίδος. καί μιν.] ηγουν αὐτόν. πρόμ' ἔπεμψε.] πρόὲπεμψέ με. ἄναξ ἀνδρῶν.] ὁ βασιλεὺς τῶν ἀνθρώπων. πάλλα τέ σοι.] ἡ τὴν δυγατέρα σοι. ἀγέμεν.] ἄγειν. Φοίβῳθ'.] ηγουν τῷ Απόλλωνι. ῥέξαι.] ἱπτιλίσαι, θῦσαι, ἱερουργῆσαι. ἴφῐ ἱλασσόμεθα.] ὅπως ἱλεωσώμεθα. αἶσαπα.] τὸν Απόλλωνα νεῶν. πολύσονα.] πολλῶν συναγμῶν αἰτία. κήδεα.] ἰασπά.

ἐφῆκεν.] ἐπέπεμψε. πᾶλλα φίλην.] τὴν προσφιλῆ δυγατέρα. ὦπα.] ταχέως. κλειτύν.] ἐνδοξον. ἐξέης.] ἀφιξῆς. ἐὐδμητον.] σφὶ τὸν καλῶς οἰκοδομημένον βωμόν. χρνίψαντο.] τὰς χεῖρας ἐνίψαντο. οὐλοχύτας.] οὐλὰς. ἀσὶ ᾗ κεριβὰι μετὰ ἀλῶν μεμιγμένα. ἃς ἐπέχειρον τοῖς ἱερουργουμένοις ζώοις πρὸ τ῀ δύεσθαι, ὅτοι πολυπλοκίας χάριν ἢ μνήμην ποιούμενοι σ῀ ἀρχαίας βρώσεως. ὡς γάρ φησι Θεόφραστος ἐν τῷ περὶ σημάτων, πρὶν ἢ μάθωσιν οἱ ἄνθρωποι ἁλᾶν τὸν δημητριανὸν καρπὸν οὕτω σώας αὐτὰς ἤσθιον. ὅθεν οὐλὰς αὐτὰς φησιν ὁ Ποιητής.

προβάλοντο.] προὐνήναν, ἐβάσασαν. μεγάλ' ὄὐχετο.] μεγάλως ἤυχετο. ἀὐασχών.] ἀὐατείνας. παρος.] ἐμπροσθεν, ἢ πρότερον. ἐμοῖ.] ἐμοῦ. ἐκλυες.] ἐπήκοος ἐμοῦ ὐχομένου. τέμησας.] τιμῆς ἠξίωσας, ἐτίμησας. μίγα δ' ἴαχε.] μεγάλως ἐβλαψας. ἤδ' ἔτι καὶ νεῶν μοι.] καὶ νεῶν δήμοι. ἐπιῤῥήνων.] ἐπιτίλισον. ἴλη σθω.] ἐπιθύμημα. ἀεικέα λοιγόν.] ἀπιστικὸν ἀπριπῆ, καὶ χαλεπὸν ὄλεθρον. ἄμυνον.] ἀπόστρεψον, κατάπαυσον. αὐτὰρ ἐπεί ῥ'.] ἐπειδὴ δέ. οὐλοχύτας.] νεῶν τὰ ἰλανὰ. ἀνίρυσαν.] ὡς τὸ πίσω αἴνιπλασαν τὸν ῥαχιαλον τ῀ θυμίνη ἱδρόου. ὡς προσέχειν ἐς οὐρανὸν τοῖς θεοῖς, οἷς καὶ ἐθύοντο. ὡς καὶ αὐτ῀ ὄντων ἐν οὐρανῷ. πάλιν δὲ τοῖς ὕδασιν ὡς κατοιχομένοις ἐντομα ἔθυον ἀποβλέποντα κάτω ἐς γῆν. ἔλειραν.] βίλειραν. μηρός.] τὰ μηρικᾶα ὀστᾶ. βίταμον.] βίταμον, βίκοψαν. κατά τε κνίσην ἐκάλυψαν.] καὶ ἐκάλυψαν τὰ μηρία τῷ λίπει. δίπτυχα ποιήσαντες.] διπλώσαντες τὴν κνίσαν. νῶν ᾗ λίγει τὸν ἐπίπλουν. ἐπ' αὐτῶν ᾗ ὠμοβίτησαν.] ἀπ' αὐτ῀ ᾗ ὠμῶν τ῀ ἱερέων ἀπαρξάμενοι ἔκοψαν μηρὸν ἀπὸ πάντος μέρος καὶ ἐπέθηκαν ὑδὲ τὰ μηρία, ὡς δοκεῖν ὅλα τὰ μέλη τ῀ ἱερέως παρεδαι-

καίει δ'.] ἔκαιε δέ. ἔπὶ σχίζης.] αὐτὶ τ῀ ἐπὶ σχιζῶν. αἴθοπα.] μέλανα, ἢ θερμόν. λαβὲν.] ἐπίσπασθαι. νέοι.] νεανίσκοι. ἔχον.] κατεῖχον, ἐκράτουν. πεμπώβολα.] πέντε ὀβολὸς ἔχοντα ἐν μιᾶς λαβῆς πρατομένης ῥιφανοειδῶς. πάντὰ μὴρ ἐπάν.] κατεπάν τὰ μηρικᾶα ὀστᾶ. σπλάγνα.] ἔντερα. ἐπάσαντο.] ἐγεύσαντο. μίσυλλον.] εἰς μικρὰ διέκοψαν.

σ' ἄρα

Ἐκ δ' ὄὐνὰς ἔβαλον. ηγουν δὲ πρυμνήσια ἔδησαν.
Ἐκ δὲ καὶ αὐτοὶ βαῖνον ὑδὲ ῥιγμῖνι θαλάσσης.
Ἐκ δ' ἑκατόμβην βῆσαν ἑκηβόλῳ Απόλλωνι.
Ἐκ δὲ Χρυσηὶς νηὸς βῆ ποντοπόροιο.
Τὴν μὲν, ἔπειτ' ὑδὲ βωμὸν ἄγων πολύμητις Οδυσσεύς,
Πατρὶ φίλῳ ἐν χροὶ τίθει, καί μιν προσέειπεν,
Ὦ Χρύσην, πρόμ' ἔπεμψεν ἄναξ ἀνδρῶν Αγαμέμνων
Πᾶλλά τέ οἱ ἀγέμεν, φοίβῳ θ' ἱερὴν ἑκατόμβην
Ρέξαι ὑπὲρ Δαναῶν, ὄφρ' ἱλασόμεθ' ἄνακτα,
Ὃς νῦν Αργείοισι πολύσονα κήδε' ἐφῆκεν.
Ὡς εἰπὼν ἐν χροὶ τίθει. ὅδ' ἐδέξατο χαίρων,
Πᾶλλα φίλην. τοι δ' ὦκα θεῷ κλειτὴν ἑκατόμβην,
Ἑξείης ἔσυσαν ἐὐδμητην πρὸ βωμοῦ.
Χρνίψαντο δ' ἔπειτα, καὶ ὐλοχύτας ἀνέλοντο.
Τοῖσιν δὲ Χρύσης μεγάλ' ὐχετο χεῖρας ἀνασχών.
Κλυθί μευ ἀργυρότοξ', ὃς Χρύσην ἀμφιβέβηκας,
Κίλλαν τε ζαθέην, Τενέδοιό τε ἶφι ἀνάσσεις.
Ἦλθε μὰν ποτ' ἐμὸν κατ' ἔκλυες ὐξαμένοιο.
Τίμησας μὲν ἐμὲ, μέγα δ' ἴαυε λαὸν Αχαιῶν.
Ἦ δ' ἔτι νῦν μοι τόδε κῆρ' ἐκρήηνον ἐέλδωρ.
Ἦδη νῦν Δαναοῖσιν ἀεικέα λοιγὸν ἄμυνον.
Ὡς ἔφατ' ὐχόμενος, τοῦ δ' ἔκλυε Φοῖβος Απόλλων.
Αὐτὰρ ἐπεὶ ὐξάσθην, καὶ ὐλοχύτας προβάλοντο,
Ἀνέρυσαν μὲν πρῶτα, καὶ ἔσφαξαν, καὶ ἔδειραν,
Μηρούς τ' ἐξέταμον, κατά τε κνίσῃ ἐκάλυψαν,
Δίπτυχα ποιήσαντες, ἐπ' αὐτῇν δ' ὠμοβόειον,
Καῖε δ' ὑδὲ σχίζης ὀγρῴῳ, ὑδὲ δ' ἄϊσπα οἴνου.
Λαβὲ. νέοι δὲ πὴ αὐτὴν ἔχον πεμπώβολα χερσίν.
Αὐτὰρ ἐπεὶ κῆ μηρὲ ἐκάη, καὶ σπλάγχν' ἐπάσαντο.
Μίσυλλόντ' ἄρατ' ἄλλα, καὶ ἀμφ' ὀβελοῖσιν ἔπειραν.
Ὠπτησάν,

τ' ἄρα τ' ἄλλα.] καὶ τὰ ἄλλα. ἀμφ' ὀβελοῖσιν ἔπειραν.] καὶ τοῖς ὀβελίσκοις περιέπειραν. περιφραδέως.] πάνυ ἐμπείρως, καὶ ἐντέχνως. ἐρύσαντο.] εἰς τοὐπίσω εἵλκυσαν τοῦ πυρός. πόνου.] τοῦ περὶ τὴν εὐωχίαν ἀσχολίας. τετύκοντο.] κατεσκεύασαν, ἡτοίμαζον. δαῖτα.] εὐωχίαν. δαίνυντο.] εὐωχοῦντο. ἐδεύετο.] ἐνδεὴς ἦν. δαιτός.] εὐωχίας. ἐΐσης.] ἴσης· πᾶσιν ὁμοίας· ἢ ἰσομοίρου καὶ μεριστῆς. πόσιος.] ποτοῦ. ἐδητύος.] εὐωχίας, βρώσεως. ἐξ ἔρον ἕντο.] ἐξέβαλον τὸν τῆς τροφῆς ἔρωτα· ὅ ἐστιν ἐκορέσθησαν. ἔρον δὲ τὸν ἔρωτα Αἰολικῶς λέγει.

Ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα.
Αὐτὰρ ἐπεὶ παύσαντο πόνου, τετύκοντό τε δαῖτα
Δαίνυντ', οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης.
Αὐτὰρ ἐπεὶ πόσιος, καὶ ἐδητύος ἐξ ἔρον ἕντο
Κοῦροι μὲν, κρητῆρας ἐπεστέψαντο ποτοῖο.
Νώμησαν δ' ἄρα πᾶσιν, ἐπαρξάμενοι δεπάεσσιν.
Οἱ δὲ, πανημέριοι μολπῇ θεὸν ἱλάσκοντο,
Καλὸν ἀείδοντες παιήονα κοῦροι Ἀχαιῶν.
Μέλποντες ἑκάεργον. ὁ δὲ, φρένα τέρπετ' ἀκούων.
Ἦμος δ' ἠέλιος κατέδυ, καὶ ἐπὶ κνέφας ἦλθε,
Δὴ τότε κοιμήσαντο παρὰ πρυμνήσια νηός.
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Καὶ τότ' ἔπειτ' ἀνάγοντο μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν.
Τοῖσιν δ' ἴκμενον οὖρον ἵει ἑκάεργος Ἀπόλλων.
Οἱ δ' ἱστὸν στήσαντ' ἀνά θ' ἱστία λευκὰ πέτασσαν.
Ἐν δ' ἄνεμος πρῆσεν μέσον ἱστίον. ἀμφὶ δὲ κῦμα
Στείρῃ πορφύρεον μεγάλ' ἴαχε νηὸς ἰούσης.
Ἡ δ' ἔθεεν κατὰ κῦμα, διαπρήσσουσα κέλευθα.
Αὐτὰρ ἐπεί ῥ' ἵκοντο κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν,
Νῆα μὲν οἵγε μέλαιναν ἐπ' ἠπείροιο ἔρυσσαν.
Ὑψοῦ ἐπὶ ψαμάθοις. ὑπὸ δ' ἕρματα μακρὰ τάνυσσαν. +
Αὐτοὶ δ' ἐσκίδναντο κατὰ κλισίας τε νέας τε.
Αὐτὰρ ὁ, μήνιε νηυσὶ παρήμενος ὠκυπόροισι,
Διογενὴς Πηλέος υἱὸς πόδας ὠκὺς Ἀχιλλεύς.
Οὔτε ποτ' εἰς ἀγορὴν πωλέσκετο κυδιάνειραν,
Οὔτε ποτ' ἐς πόλεμον, ἀλλὰ φθινύθεσκε φίλον κῆρ
Αὖθι μένων.

κοῦροι.] οἱ νέοι. κρητῆρας.] τοὺς κρατῆρας. ἐπεστέψαντο.] ἄχρι τῆς στεφάνης ἐπλήρωσαν· ὅ ἐστι μέχρι τέλους. ποτοῖο.] ποτοῦ. νώμησαν.] διεμέρισαν, διέδωκαν. ἐπαρξάμενοι.] ἤτοι τοῦ πίνειν ἀρχὴν ποιήσαντες, καὶ ἀπαρξάμενοι, καὶ σπείσαντες τοῖς θεοῖς. δεπάεσσι.] ποτηρίοις, ἐκπώμασι. πανημέριοι.] δι' ὅλης ἡμέρας. μολπῇ.] ὕμνῳ, ᾠδῇ. θεόν.] τὸν Ἀπόλλωνα. ἱλάσκοντο.] ἐξευμενίζοντο, ἐξιλεοῦντο. καλὸν ἀείδοντες.] ἤτοι καλὸν ᾄδοντες.

ἢ καλῶς τὸν παιᾶνα.] παιὰν δέ ἐστι ὕμνος εἰς Ἀπόλλωνα ἐπὶ ἀφέσει λοιμοῦ ᾀδόμενος. παιήονα.] παιὰν ᾠδῆς εἶδος. κοῦροι.] νέοι. μέλποντες.] ὑμνοῦντες· ἀπὸ δὲ τοῦ ἔπους τὸν ποιητὴν τὸ ὁ δὲ φρένα τέρπετ' ἀκούων, διδασκόμεθα· ὅτι πλέον τῶν θυσιῶν τέρπονται οἱ θεοὶ τοῖς οἰκείοις ἕκαστος ὕμνοις. ἑκάεργον.] τὸν Ἀπόλλωνα, ἐπιθετικῶς. ἦμος.] ἡνίκα, ὅτε. ἠέλιος.] ὁ ἥλιος. καὶ ἐπὶ κνέφας ἦλθε.] καὶ τὸ σκότος ἐγένετο· ὅ ἐστι νύξ. δὴ τότε.] τότε δή. κοιμήσαντο.] ἐκοιμήθησαν. παρὰ πρυμνήσια.] παρὰ τὰ ἀπόγεια σχοινία. ἠριγένεια.] ἤτοι ἡ τὸν ὄρθρον γεννῶσα ἡμέρα, ἢ ἡ ὑπὸ τοῦ ὄρθρου γεννωμένη. φάνη.] ἐφάνη.

ῥοδοδάκτυλος.] ῥοδόχρους, διαυγής. πυρράζει γὰρ ὁ ἀὴρ ὄρθρου γίγνεται ἐν τῇ ἀνατολῇ· ἀπὸ δὲ τοῦ σχήματος τῶν τῆς χειρὸς δακτύλων, παρίστησι τὸ τῶν ἀκτίνων σχῆμα. ἠώς.] ἡμέρα. ἀνάγοντο.] ἀνήγοντο, ἐπέπλεον. μετὰ στρατὸν εὐρὺν Ἀχαιῶν.] ἐπὶ τὸ πλῆθος τῶν Ἑλλήνων. ἴκμενον.] ἤτοι πορευτικόν, παρὰ τὸ ἱκνεῖσθαι. ἢ ὑγρόν, ἀπὸ τῆς ἰκμάδος· καὶ γὰρ ἐν ἄλλοις φησίν· αὐχμῶν μένος ὑγρὸν ἀέντων. ἵει.] ἐφίει, ἐπέπεμπεν. ἱστόν.] τὸ κατάρτιον. ἱστία δὲ πληθυντικῶς τὰς ὀθόνας. στήσαν.] ἔστησαν. ἀνά θ' ἱστία λευκὰ πέτασσαν.] ἀνελκύσαντες δὲ καὶ τὰ τῆς νεὼς ὀθόνια ἥπλωσαν. πρῆσεν.] ἐνέπρησεν, ἐφύσησε. μέσον ἱστίον.] μέσην τὴν ὀθόνην. ἀμφὶ δὲ κῦμα.] περὶ δὲ τὸ κῦμα. στείρῃ.] τῇ τρόπιδι τῆς νεώς. ἐπεὶ στερεωτέρα τῶν σανίδων ὑπάρχει. ἐπὶ γὰρ τῷ ξύλῳ τούτῳ ὥσπερ ἐπὶ θεμελίῳ τινὶ ἐποικοδομεῖται τὰ ἄλλα ξύλα τῆς νεώς. πορφύρεον.] μέλαν. μεγάλ' ἴαχε.] μεγάλως ἤχει. νηὸς ἰούσης.] τῆς νεὼς πορευομένης· ὅ ἐστι πλεούσης. ἔθεεν.] ἔπλει, νῦν δὲ ἔτρεχε. κατὰ κῦμα.] κατὰ τὴν θάλασσαν. διαπρήσσουσα.] διαπερῶσα, διερχομένη. κέλευθον.] πλοῦν. ἄλλοτε δὲ τὴν διὰ τῆς γῆς ὁδόν. αὐτὰρ ἐπεί.] ἐπειδὴ δέ. ἵκοντο.] παρεγένοντο. εὐρύν.] πλατύν, μέγαν. οἵ.] οὗτοι.
ἐπ' ἠπείροιο.] ἐπὶ τῆς γῆς. ἔρυσσαν.] ἀνείλκυσαν. ὑψοῦ.] ἐφ' ὕψους. ψαμάθου.] ἐπὶ τῆς ψάμμου. ὑπὸ δέ.] ὑποκάτω δέ. ἕρματα.] ἐρείσματα, στηρίγματα, δασύνεται. τὰ γὰρ βραχέα πρὸ τοῦ ρ ἐπαγομένου τοῦ μ, δασύνεται πλὴν τοῦ ἄρμενον. μακρά.] μεγάλα. τάνυσσαν.] κατὰ μῆκος ὑπέθηκαν. ἐσκίδναντο.] ἐσκεδάννυντο, ἐσκορπίζοντο. κλισίας.] σκηνάς. νέας.] τὰς ναῦς. αὐτὰρ ὁ.] οὗτος δέ. μήνιε.] ὠργίζετο. παρήμενος.] παρακαθήμενος. ὠκυπόροισι.] ταχείαις. διογενής.] εὐγενέστατος. πωλέσκετο.] ἀνεστρέφετο, παρεγίνετο. κυδιάνειραν.] ἐνδόξους ἄνδρας ἔχουσαν· ἢ ἐνδόξους τοὺς ἄνδρας ποιοῦσαν. φθινύθεσκε.] διέφθειρεν. αὖθι.] αὐτόθι, ἐπὶ τόπου. ποθέεσκεν.]

Ὦ πάτερ ἡμέτερε Κρονίδη ὕπατε κρειόντων,
Εὖνυ νῷ καὶ ἡμεῖς ἴδμεν ὅτι σθένος ἐκ σέθεν ἐστόν,
Ἀλλ' ἔμπης δαμάσσω ὀλοφυρόμεθ' ἀχνύμενόν περ,
Οἶκον δὲ κακὸν οἵτου ἀναπλήσαντες, ὄλωνται.
Ἀλλ' ἤτοι πολέμου μὲν ἀφεξόμεθ' εἰ σὺ κελεύεις,
Βουλὴν δ' Ἀργείοις ὑποθησόμεθ', ἥτις ὀνήσει.
Ὡς μὴ πάντες ὄλωνται ὀδυσσαμένοιο τοῖο, 20
Τὴν δ' ὦμειδήσας, προσέφη νεφεληγερέτα Ζεύς.
Θάρσει Τριτογένεια, φίλον τέκος ἐκ νύπτ θυμῷ
Πρόφρονι μυθέομαι. ἕβελω δέ τοι ἤπιος εἶναι.
Ὡς εἰπὼν, ὑπὸ ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω
Ὠκυπέτα, χρυσέῃσιν ἐθείρῃσιν κομόωντε
Χρυσὸν δ' αὖτὸς ἔδυνε περὶ χροῒ. γέντο δ' ἰμάδλην
Χρυσείην, εὐτυκτόν, ἐὺ δ' ὤβησατο δίφρον.
Μάστιξεν δ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην
Μεσσηγὺς γαίης τε, καὶ ἐρανοῦ ἀστερόεντος, 30
Ἴδην δ' ἵκανε πολυπίδακα, μητέρα θηρῶν
Γάργαρον, ἔνθα δὲ οἱ τέμενος, βωμός τε θυήεις,
Ἔνθ' ἵππους ἔστησε πατὴρ ἀνδρῶν τε, θεῶν τε,
Λύσας ἐξ ὀχέων. ἦέρα δ' ἠέρα πολλὰ ἔχευεν.
Αὐτὸς δ' ἐν κορυφῇσι καθέζετο κυδιόεις γαίων.
Εἰσορόων Τρώων τε πόλιν, καὶ νῆας Ἀχαιῶν.
Οἱ δ' ἄρα δεῖπνον ἕλοντο κατὰ κλισίας, ἀνὰ δ' αὖτε θωρήσσοντο. 40
Τρῶες δ' αὖ ἑτέρωθεν ἀνὰ πτόλιν ὥπλίζοντο
Παυρότεροι. μέμασαν δὲ καὶ ὥς ὑσμῖνι μάχεσθαι
Χρειοῖ ἀναγκαίῃ, πρό τε παίδων, καὶ πρὸ γυναικῶν.
Πᾶσαι δ' ὠίγνυντο πύλαι. ἐκ δ' ἔσσυτο λαός,

Πεζοὶδ'

ἵνα.] τὸν αὐτόν. ξυνίοντες.] συνερχόμενοι ἐμοῦ. ἐπλίοντο.] ἐπλησίαζον. ἄγγελοι. ἔφρα μὴ ἠὼς ἔλθῃ.] νυὸ τὸ ἐπιόντα κατάστημα ἕως μεσημβρίας. ἄξετο ἱερὸν ἦμαρ.] αὔξησιν ἐλάμβανεν ἡ ἡμέρα. δ' ἐστιν ἕως ζυγὸν ἔστο ὁ ἥλιος ὁ τὴν ἡμέραν ποιῶν. τόφρα.] ἕως τότε. βέλεα.] βέλη πᾶν τὸ ἀπὸ λιασθήματος πεμπόμενον βέλος καὶ λῆξις. ἧπτετο.] καθῆπτετο. ἧμος] ἡνίκα. ὅτε. μέσον οὐρανὸν ἀμφιβεβήκει.] περὶ τὸν οὐρανόν, ὅ ἐστιν ἐν μεσουρανήσει. ἐτίταινον.] ἔτεινον, ἔλπε-

τάλαντα.] λέγει ἢ τίλιον ἢ Διὸς διάνοιαν. ταναηλεγέος.] μακροσκιμήτου, ἢ μακρὰν ἀφροντισίαν παρέχοντος. ῥίπτε.] κατέῤῥιπτε, κατεβάρει, κάβαλλε. αἴσιμον ἦμαρ.] εἱμαρμένην ἡμέραν, καὶ πεπρωμένην. κῆρες.] νυὸ μοῖραι. ἕλοιεν.] κατεπαύσασαν ἐληϊώσασαν. ἄρβυε.] ἤρβυσαν, ἠνώχθησαν. ἐκτυπεν.] ἐκτύπησαν, ἐβρόντησε. δαιόμενον σέλας.] τὸ καιόμενον καὶ πυρούνιον τῶν. εἰ ἢ τίλιον ἔσχατα πλίω. βάμβησαν.] ἐξεπλάγησαν, ἐφοβήθησαν. χλωρὸν δέος.] ὁ χλωροποιὸς φόβος. ὅπ ἔτλη.] ὅτι ἐκαρτέρησεν, ἐχ ὑπέμεινε. μενοίτην.] ἔμειναν. δυὶ κῶς. εἶος.] μόνος. ὄρος.] φύλαξ. ὅτι ἐκών.] ἐχ ἑκουσίᾳ γνώμῃ, ἀ βελῇ. ἐτέρετο.] ἐκατεπονεῖτο.

ἄκρην κακκορυφὴν.] κατὰ τὴν κεφαλῆς. πρῶτ' ῥίχας.] πρώτας ῥίχας λέγει τὸ καλόμενον προπόμιον. ἐμπεφύασι.] πεφύκασι. μάλιστα ἢ ἥδιστον ἐστὶ.] δύσκολον ἢ πρὸς θανάτον ἐστὶ τοῖς ἵπποις τὸ μάχεσθαι τὸ ἐπικίνδυνον ὄν. αἰὲν ἄλτο.] ἀνίσχατο, ἀείλατο. βέλος δέμας] αἰτιατικὴ ἢ βέλος γάρ. δοῦ.] ξύλου, κατῆλθε. πυλινθόμυχον πορὶ χαλκῷ.] πορὶ τῶν σιάγων ἢ ἐπισώρων, ὅ ἐστι τῶν παυλῶν.

παρηορίαις.] τὰς ἢ παρηόρους ἵππους ἡνίας. τὰς παραζεύξεις, ὅ ἐστι τὰς ἐξωθεν παρατεταμένους ἱμάντας.

ἀπέταμεν.] ἀπέκοπε. μερικῶς ἐστιν Ομηρος καὶ διὰ μιᾶς λέξεως, ὅλον τὸν αὐδρα σημαίνει. διὰ γὰρ ἢ ἀπέτεμνε, τίλιον ἀσθένειαν ἢ γέροντος δηλοῖ. καὶ ἐνδοθεν τὸ βραδὺ καὶ ἀνδρὸς γέρας. προσκιόντος ἂν ἔπι ἢ περισυρῆς ἐχρήσατο τῷ παρατάξιπῷ χρόνῳ, ἐπὼν τὸ αἰσιον. ὠδὶ ἢ ἓξ Αὐτομέδοντος τῷ συντελίπῳ ἐπὼν, αἴξι καὶ ἀπίσω ἕξι συνδόμος. τὸ πρᾶγμα ἐδήλωσεν. αἴσιμον.] ἐρμῶν, τέμνων. αὖ ἰωχμόν.] αὐτὰ τὸν βόρυβον. ὅ ἐστι τίλιον δίωξιν.

ἰώιοχον.] τὸν ἐπιβάτην, τὸν ὀνιοπάτην. ὀξὺ.] ὀξέως. ὄνομα ἔλαβεν, αἰτὶ ἐπιῤῥήματος. πῇ.] ποῦ. μετὰ νῶτα βαλὼν.] μεταβαλὼν τὰ νῶτα καὶ ῥίψας πρὸς τὰς πολεμίας. ἀπόσωμεν.] ἀποδιώξωμεν. ἄγερον.] φεισάμενοι, φοβηθέντες. ὀδ' ἰσάτησεν.] ὀδὲ ἤνεγκεν. ἐξύπτατο ἢ πότερον ἅμα ὀδ' ὅλως ἤνεγκεν ὁ Οδυσσεύς. ἢ ὅτι

Πεζοὶδ', ἱππῆες τε, πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
Οἵδ' ὅτε δὴ ῥ' ἐς χῶρον ἔβαν ξανθὸν μένος ἵππων,
Σὺν ῥ' ἔβαλον βίνδς, σὺν δ' ἔγχεα, καὶ μιν ἔπειτα
Χαλκεοθωρήκων. ἀτὰρ ἀσπίδες ὀμφαλόεσσαι
Ἔπλητ' ἀλλήλῃσι. πολὺς δ' ὀρυμαγδὸς ὀρώρει.
Ἔνθα δ' ἄρ' οἰμωγή τε, καὶ εὐχωλὴ πέλεν ἀνδρῶν
Ὀλλύντων τε, καὶ ὀλλυμένων. ῥέε δ' αἵματι γαῖα.
Ὄφρα μὲν ἠὼς ἦν, καὶ ἀέξετο ἱερὸν ἦμαρ,
Τόφρα μάλ' ἀμφοτέρων βέλε' ἤπτετο. πίπτε δὲ λαός.
Ἦμος δ' ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε πάλαντα.
Ἐνδὶ ἐτίθει δύο κῆρε ταναηλεγέος θανάτοιο,
Τρώων δ' ἱπποδάμων, καὶ Ἀχαιῶν χαλκοχιτώνων.
Ἕλκε δὲ μέσα λαβὼν, ῥέπε δ' αἴσιμον ἦμαρ Ἀχαιῶν +
Αἱ μὲν Ἀχαιῶν κῆρες ὐδὶ χθονὶ πουλυβοτείρῃ
Ἐζόδην. Τρώων δὲ πρὸς οὐρανὸν εὐρὺν ἄερθεν.
Αὐτὸς δ' ἐξ Ἰδης μεγάλ' ἔκτυπε. δαιόμενον δὲ
Ἧκε σέλας ἐς λαὸν Ἀχαιῶν. οἱ δὲ, ἰδόντες.
Θάμβησαν, καὶ ὠχρὸν ὑπὸ χλωρὸν δέος εἷλεν
Ἔνθ' ὅτ' Ἰδομενεὺς τλῆ μίμνειν, ὅτ' Ἀγαμέμνονα,
Οὔτε μὺν Αἴαντες μενοίτιον, θεράποντες Ἄρηος
Νέστορ' δ' οἶον ἔμιμνε γερήνιον, ἕρος Ἀχαιῶν +
Οὔτι ἑκών, ἀλλ' ἵππος ἑτέρη, τὸν, βάλεν ἰῷ
Διὸς Ἀλεξάνδροιο Ἑλένης πόσις ἠϋκόμοιο,
Ἀκρην κακκορυφὴν, ὅθι τε πρῶτοι τρίχες ἵππων
Κρανίῳ ἐμπεφύασι, μάλιστα δὲ καίριόν ἔδην.
Ἀλγήσας δ' ἀνεπάλτο, βέλος δ' ἐς ἐγκέφαλον δῦ.
Σὺν δ' ἵπποι ἐτάραξε, κυλινδόμενός περὶ χαλκῷ.
Ὄφρ' ὁ γέρων ἵππους πρὸ πορείας ἀπέτεμνε
Φασγάνῳ ἀΐσσων, τόφρ' Ἕκτορος ὠκέες ἵπποι
Ἦλθον ἂν ἰωχμὸν θρασὺν, ἡνίοχον φορέουσαι
Ἕκτορα. καὶ νύκεν ἔνθ' ὁ γέρων ἀρὲ θυμὸν ὄλεσσεν
Εἰ μὴ ἄρ' ὀξὺ νόησε Βολὼ ἀγαθὸς Διομήδης.
Σμερδαλέον δ' ἐβόησεν, ἐπ' ὀτρύνων Οδυσῆα.
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Οδυσσεῦ.
Πῇ φεύγεις μετὰ νῶτα βαλὼν κακὸς ὡς γ' ὁμίλῳ;
Μήτις τοι φεύγοντι μεταφρένῳ ἐν δορὶ πήξῃ,
Ἀλλὰ μὺν, ὄφρα γέροντος ἀπώσομεν ἄγριον αὖδρα.
Ὡς ἔφατ' οὐδ' ἐσάκουσε πολύτλας δῖος Οδυσσεύς,
Ἀλλὰ

ἐπάιδω. ῥητέον ὅτι οἱ λέγοντες ὅτι ἀνόσας ὀκ ἐπῴδη, ἀναίσιμα κατηγοροῦσι τ ἥρωος, ἀγνοοῦντες τὸ ὀλ ἰσάκησιν. ὁ γὰρ τὸ ϖαρακεῦσαι ἀλλὰ τὸ μὴ ἀϊδέως ἀκέσασθαι, τελέως ἀκεῖ. ἢ γὰρ ὀκ ἰῶ ὁ λὸς τ ἄλλων ἴσχατ ϕεύγων ἢ τῇ βραδυτῆτι τὸ φυλονίνλυνον ἐπιδεικνάμενος. παρήιξε.] ϖαρέδραμεν. αὐτόσπ ἐὼν.] κάμπ μόνος ὢν. ἢ μάλα.] ὄντως ἀήσε.] νέοι τάροσι μαχηταί.] νέοι καταπονῦσι ϖολεμισταί. σὺ δὲ βίη λέλυσ.] ὑπὸ δεινοῦ σε ἡ δύναμις ἢ ϖοράλη. χαλεπόν.] ϖακὸν, δεινόν. ὀπάζει.] κατόπιν δίωκει, συνελαύνει. ὑπερμενής.] ἀδυνὸς, ἢ ἄτεχνος. οἱονεὶ ἀπερμενὴς ὁ μὴ δυνάμενος δι ὑπερβολὴν ἀδυνῆσαι ἐν τῷ ϖεδίῳ, ὅ ἐστιν ἐν τῷ ἐλάφει γλῶσ. ἐμπεδος γὰρ λέγεσ ὁ ἐν τῷ ϖεδίῳ δι ἰσχὺ ἑστὼς βεβαίως. ἐπιβήσειε.] ἐπίβωθι. ϖραπνά.] ϖραπνῶς, ταχέως. φέβεσθαι.] φεύγειν. ἰλόμην.] ἀφειλόμην, ἔλαβον. ϖομφῶν.] ϖομάτωσαν, βραπευέτωσαν. τώδε δε.] ὅτοι ἢ οἱ Διομήδης. ἰθύομεν.] ἐπ' εὐθὰν ἐλαύνομεν. ὄφρα ϰαὶ Ἕκτωρ εἴσετ.] ὅπως ϰαὶ Ἕκτωρ μάθῃ.

ἃ ϰαὶ ἐμὸν ϰέρδος μάνετ.] ἃ ϰαὶ τὸ ἐμὸν ϰέρδος ἐνθεσιῷ. Νεσορίας.] τὰς τ Νέσορ. Ἀγαϰήνωρ.] ὁ ἀγαπῶν τὴν ἠνορίην, ἤγουν τὴν αὐθέδραν. ἀφάμαρτεν.] ἀπέτυχεν. ὑπερώησαν.] ὑπεχώρησαν, ϖαρωρμήθησαν. νύϰασι.] ϖρὸς ϰάλυψιν, ἰσϰήϖασι. μίθεπεν.] ἐπῆεν, ἰδίωσεν, ἐζήτει. Λυϰάονδην.] ἐνδελὲς ἦσαν. σημαίτερος.] τ ἡνίοχήσοντ. ἐπέβησεν.] ἐπιβῶναι ἐποίησε. λοιγός.] ὄλεθρος. ἀμύχανα.] ϖρὸς ἃ ὀκ ἔχει τις σχεῖν μηχανὴν σύρεῖν. ἰδὲ δεινὰ ϰαὶ χαλεπά. σήϰαθεν.] ὡς ἐς σπεῦσ ϰατεϰλείσθησαν. σπεὸς ἢ ἔρϰος εἶονεὶ ἑϛηϰός τις ὤν. ἀπὸ τ ἑϛάσθαι αὐτ τὰ τρίμματα. ἔνθεν ϰὴ οἱ νεώτεροι τ ποιητ σηϰὸν λέγουσι τ ναὸν ἀπὸ τ ἑϛάσθαι ἐν αὐτῷ τὰ ἀγάλματα. ὠγῦτα.] λαμπρόν. θείη.] θέοι. ϖροσλιπάριον ἢ ϰράανεδ. ὅπερ γὰρ αὖ ϖεραίνος ϖέσοι, ὡς θᾶον ὄβελ ἐν ἐϰείνῳ τῷ ϖῳ. ϰατατπτήτην.] ϰατέπτηξαν, ἐφοβήθησαν. σιγαλόεντα.] αὐθηρὰ, λαμπρά. φόβον δ' ἔχε.] ἐς φυγὴν ἤλασε. ἀλϰή.] νῦϖ ἀλέξησις ϰαὶ βοήθεια. ὀπάζει.] ϖρισποιᾶ, παρέχει. ἐρύσατο.] ϰατάσχη, ϰρατήσει.

φοβέμην.]

Ἀλλὰ ϖρὸς ἠῖξεν ϰοίλας ἐπὶ νῆας Ἀχαιῶν.
Τυδείδης δ' αὖτος ϖρὸς ἑὸν ϖρομάχιζεν ἐμίχθη·
Στῆ δὲ ϖρόσθ ἵϖϖων Νηλῃάδαο γέροντος.
Καί μιν φωνήσας ἔϖεα ϖτερόεντα ϖροσηύδα.
Ὦ γέρον, ἦ μάλα δή σε νέοι τείρουσι μαχηταί.
Σὴ δὲ βίη λέλυται, χαλεπὸν δέ σε γῆρας ὀπάζει.
Ἠπεδανὸς δὲ νύ ϖοι θεράϖων, βραδέες δὲ τοὶ ἵϖϖοι.
Ἀλλ' ἄγ' ἐμῶν ὀχέων ὐδὲ ϖείσεο, ὄφρα ἴδηαι
Οἷοι Τρῳὸς ἵϖϖοι, ὐδὲ σάμβλοι ϖεδίοιο
Κραιϖνὰ μάλ' ἐγ θα, ϰαὶ ἐγ θα δίωϰέμεν, ἠδὲ φέβεσθαι.
Οὓς ϖοτ' ἀϖ' Αἰνείαν ἐλόμην μήστωρα φόβοιο.
Τόϖω μὲν θεράϖοντε ϰομείτωσ. τὼ δὲ δὲ νῶϊ
Τρωσὶν ἐφ' ἵϖϖοισ ἰθύομεν, ὄφρα ϰαὶ Ἕϰτωρ
Εἴσεται, εἰ ϰαὶ ἐμοὶ δέρυ μαίνεται ἐν ϖαλάμῃσιν.
Ὣς ἔφατ', ὀδ' ἀϖίθησε γερηνιὸς ἱϖϖότα Νέστωρ.
Νεσορέας μὲν ἔϖειθ ἵϖϖους θεράϖοντε ϰομείτην
Ἰφθιμοι Σθένελός τε ϰαὶ Εὐρυμέδων ἀγαϖήνωρ.
Τὼ δ' εἰς ἀμφοτέρω Διομήδεος ἅρματα βήτην.
Νέστωρ δ' ἐν χείρεσι λάβ' ἡνία φοινιϰόεντα.
Μάσιξεν δ' ἵϖϖους. τάχα δ' Ἕϰτορος ἀγχι γένοντο.
Τὸν δ' ἰθὺς μεμαῶτα ἀνήνυτα Τυδέος υἱὸς
Καὶ τὸν μὲν ῥ' ἀφάμαρτεν. ὅδ' ἡνίοχον θεράϖοντα
Υἱὸν ὑϖερθυμὸν Θηβαίου Ἠνιοϖῆα,
Ἵϖϖων ἡνί' ἔχοντα, βάλε στῆθος ϖαρὰ μαζόν.
Ἤριϖε δ' ὀχέων. ὑϖερώησαν δὲ οἱ ἵϖϖοι
Ὠϰύϖοδες. τοῦ δ' ὦθι λύθη ψυχή τε, μένός τε.
Ἕϰτορα δ' ἀνὰ ἄχος ϖύϰασε φρεσὶν ἡνιόχοιο,
Τόν μὲν, ἔϖειτ', εἴασε, ϰαὶ ἀχνύμενος ϖερ ἑταίρῳ,
Κεῖσθαι. ὅδ' ἡνίοχον μεθέϖε θρασὺν, ὀδ' ἄρ' ἔτι δήν
Ἵϖϖω δηϊόεντε σημάντορε. ἄϊψα γὰρ εὗρεν
Ἰφιτίδην Ἀρχεϖτόλεμον θρασὺν, ὃν ῥα ϖρὸ ἵϖϖων
Ὠϰυϖόδων ἐπέβησε, δίδου δὲ οἱ ἡνία χερσίν.
Ἔνθα ϰε λοιγὸς ἔην, ϰαὶ ἀμήχανα ἔργα γένοντο.
Καὶ νύϰε ϖίϰαδε νηῦ Ἰλιον ἠὔτε ἄρνες,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε ϖατὴρ ἀνδρῶν τε, θεῶν τε.
Βροντήσας δ' ἄρα δεινὸν, ἀφῆϰε ἀργῆτα ϰεραυνόν.
Καδ δὲ ϖρόδ' ἵϖϖων Διομήδεος ἧϰε χαμάζε.
Δεινὴ δὲ φλὸξ ὦρτο θεείου ϰαομένοιο.
Τὼ δ' ἵϖϖω δείσαντε, ϰατὰ ϖῆτην ἐὼ ὄχεσφιν.
Νέστορα δ' ἐϰ χειρῶν φύγον ἡνία σιγαλόεντα.
Δεῖσε δ' ὅγ' ὃν θυμῶ. Διομήδεα δὲ ϖροσέειπε.
Τυδείδη, ἄγε δ' αὖτε φόβον δ' ἔχε μώνυχας ἵϖϖους.
Ἦ ὀ γινώσϰεις ὅτι ἐϰ Διὸς ἔχ' ἔϖετ' ἀλϰή;
Νῶϊ μὲν γὰρ τόϖω Κρονίδης Ζεὺς ϰῦδος ὀπάζει
Σήμερον. ὕστερον αὖτε, ϰαὶ ἡμῖν, αἴϰ' ἐθέλῃσι,
Δώσει. λαὸς δὲ ϰε ὅτι Διὸς νόον εἰρύσαιτο,

οὐδὲ

Οὐ δὲ μάλ' ἴφθιμος· ἐπεὶ πολὺ φέρτατος ὄδιν.
Τόνδ' ἠμείβετ' ἔπειτα βοὴν ἀγαθὸς Διομήδης.
Νὰι δὴ τοῦτά γε πάντα γέρον, κατὰ μοῖραν ἔειπες.
Ἀλλὰ τὸ δ' αὖνον ἄχος κραδίην, καὶ θυμὸν ἱκάνει,
Ἕκτωρ γάρ ποτε φήσει υἱὶ Τρώεσσ' ἀγορεύων,
Τυδείδης τῶν ἐμεῖο φοβήμενος, ἦκε νέεσθαι.
Ὡς ποτ' ἀπειλήσει. τότε μοι χάνοι εὐρεῖα χθών.
Τὸν δ' ἠμείβετ' ἔπειτα γερήνιος ἱππότα Νέστωρ.
Ὤμοι Τυδεΐδη περὶ λαῖφρόνος, οἷον ἔειπες.
Εἴπερ γάρ σ' Ἕκτωρ γε κακὸν, καὶ ἀπάλαμον φήσει.
Ἀλλ' ἐ πείσονται Τρῶες, καὶ Δαρδανίωνες,
Καὶ Τρώων ἄλοχοι μεγαθύμων ἀμφίσσαν,
Τάων, οἳ κονίσι βάλες θαλερὰς παρειάς.
Ὡς ἄρα φωνήσας, φύγαδ' ἔτραπε μώνυχας ἵππους
Αὖτις ἀν' ἰωχμόν. τὼ δὲ Τρῶες τε, καὶ Ἕκτωρ,
Ἠχῇ θεσπεσίῃ βέλεα σονόεντα χέοντο.
Τῷδ' ὦτι μαχερὸν ἄϋσε μέγας λοφυβαίολος Ἕκτωρ.
Τυδείδη, τέρεϊ μέν σε τίον Δαναοὶ ταχύπωλοι
Ἕδρῃ τε, κρέασίν τε, ἰδὲ πλείοις λεπάροισι.
Νῶϊν δὲ σ' ἀπεπέσσουσι. γυναικὸς ἆρ' ἀντετύτυξο
Ἐρρέ κακὴ γλήνη. ἐπεὶ οὐκ ἐέξουσιν ἐμεῖο,
Πύργων ἡμετέρων ὑπερβήσεσθαι. ἢ δὲ γυναῖκας
Ἄξεις ἂν νήεσσι, πάρος τοι πάμονα πάσω.
Ὡς φάτο. Τυδείδης δὲ διάδιχα μερμήριζεν
Ἵππους τε τρέψαι, καὶ ἐναντίβιον μαχέσασθαι.
Τρὶς μὲν μερμήριξε κατὰ φρένα, καὶ κατὰ θυμόν.
Τρὶς δ' ἀπ' Ἰδαίων ὀρέων κτύπε μητίετα Ζεύς,
Σῆμα πιθὲς Τρώεσσι, μάχης ἐτραλίκια νίκην.
Ἕκτωρ δὲ Τρώεσσιν ἐπέκλυε μακρὸν ἀΰσας.
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταί,
Ἄνερες ἔστε φίλοι, μνήσασθε δὲ θάρσεος ἀλκῆς.
Γινώσκω δ' ὅτι μοι πρόφρων κατένευσε Κρονίων.
Νίκην, καὶ μέγα κῦδος, ἀτὰρ Δαναοῖσι γε πῆμα.
Νήπιοι, οἳ ἄρα δὴ τάδε τείχεα μηχανόωντο.
Ἀβλῆχρ', ὀδὶ γόσωρα, τάδ' ἀμφὶς ἐρύξει.
Ἵπποι δὲ ῥέα τάφρον ὑπερβήσονται ὀρυκτὴν.
Ἀλλ' ὅτε κεν δὴ νηυσὶν ὧν γλαφυρῇσι γένωμαι,
Μνήσασθαι πῦρ ἔπειτα πυρὸς δηΐοιο γένεσθαι,
Ὡς κύσε νῆας ἐνιπρήσω. κτείνω δὲ καὶ αὐτούς.
Ἀργείους παρὰ νηυσὶν, ἀτυζομένους ὑπὸ καπνῷ.
Ὡς ἔπτων, ἵπποισιν ἐπέκλετο, φώνησέν τε.
Ξάνθε τε, καὶ σὺ Πόδαργε, καὶ Αἴθων, Λάμπε τε δῖε,
Νῶϊ μοι τῶν κομιδὴν ἀρτίνεκα, μᾶλα πολλὰ
Ἀνδρομάχη δυγάτηρ μεγαλήτορος Ἠετίωνος,
Ὑμῖν πάρ ποδόροισι μελίφρονα πυρὸν ἔβηκεν,

φοβήμην Θ.] διωκόμην Θ. φεύγων. ἀπειλήσῃ.] ναυχήσεται, πομπάσῃ. σε μάνει ἢ ἡ λίξεις πλέονα. ἐπεὶ ναυχήσεως βλ. ὡς νῦν. ἐπεὶ δ' οὐχῦς. ὡς ἐν ἐπαίνοις, δὲ ἠπείλησεν αὖανται. ὧδε δὴ ἐργῦς. ὡς ἐν τῷ, ἠπείλει πάλιν Θ. ἐναν τίβιον πολεμίζων ἐνθαδ' ἐλεύσεσθαι. τότε μοι χάνοι εὐρεῖα χθών.] πρὸ τοῦ θανέοιμι. ὅ ἐστι γῆς χάσμα διέχθη με. τάων.] ὧν γενῶν. βάλες.] κατέβαλες. φύγαδ' ἔτραπεν.] εἰς φυγὴν ἔτρεψεν. αὐτομόν.] κατὰ τὸ πολῦ Θ. σονόεντα.] πολλῶν σφενδονῶν αἰτία. χέοντο.] ἐπέχεον. ὅ ἐστι πυκνῶς καὶ ἀθρόως ἐπέχεον. τίον.] ἐτίμων. ἕδρῃ.] πρεσβρίᾳ, παθέδρα. πλήοις.] πεπληρωμένοις, γέμουσι. γυναικὸς ἀρ' αὐτετύτυξο.] αὐτὶ γυναικὸς ἐγένου, ἐπίσης γυναικὸς ἐτετίμησο. ἐρρέ κακὴ γλήνη.] φθέρε ἀσθενὲς κόρη, ἢ κακὸν θῆλυ. γλήνη γὰρ καλεῖται ἡ τῆς ὀφθαλμῆς κόρη. ζέξουσιν Θ.] ὑποχωρήσαντι Θ. φυγόντι Θ. ἢ ἦ γυναῖκας ἄξεις ἐν νήεσσιν.] ἢ ἦ τὰς ὑμετέρας γαμετὰς αἰχμαλώτους λαβὼν ἄξεις τοῖς νηυσί. πάρος τοι πάμονα πάσω.] πρόσληπτέον τὸ κακὸν, ἵν' ᾖ, πρότερόν γάρ σοι κακὸν θανάτου κῆ κακὴν εἰρημένην πάσω. ἀπ' Ἰδαίων ὀρέων.] ἀπὸ τῆς ὄλ Ἴδης ὀρῶν. κτύπεν.] ἤχησεν, ἐβρόντησεν. τιθέις.] παρέχων. ἐτραλίκια.] ἐτροπλινῆ. τῶν τοῖς ἐναντίοις ἀλκὴν κῆ πάσαν πριποιῆσαν. ἀγχιμαχηταί.] συστάδην καὶ ἐν τῇ σώμασιν μαχόμενοι. μηχανόωντο.] ἐμηχανήσαντο. ἀβλῆχρα.] ἀσθενῆ. ὀδὶ νέσωρα.] ἢ μὰς φροντίδος ἄξια. ἀπὸ τῶν ὡρῶν. ἄρα γὰρ ἡ φρόντις μένος ἀμόν.] τῶν ἐμῶν πάσαν μὲν, πᾶσιν ὡσαύτως. ὀρύξει.] καθέξει, ἐπισχήσει. ῥέα.] ῥᾳδίως, εὐπόλως. ὑπερθορέονται.] ὑπερπηδήσουσιν, ὑπαλεύσονται. μνήσασθαι ὠμ.] ὑπόμνησις. ἐνιπρήσω.] ἐμπρήσω, καύσω. ἐκέκλετο.] ἐκέλευσε. Ξάνθε τε κῆ σὺ Πόδαργε κῆ Αἴθων, Λάμπε τε δῖε.] τὰ δύο μέρη τῆς λόγου. ταῦτα ἐπίθετα τῶν ἵππων. νοητέον ἢ ὀνόματα πύρια Ξάνθον κῆ Λάμπον· ὡς τὸ δυνατὸν ἔτως ὀρθῶς ἐπιφέρεσθαι. ἀλλ' ἁρμαρτέτον. νομιδὴν.] ἐπιμέλειαν, βοσκαπέαν. ἀποτένετον.] ἐκτένιτε, ἀποδίδοτε. πυρὸν.] περιδὸν. σῖτον ἐνταῦθα κατεχρηστικῶς. ἔβηκε.] παρίβηκε, παρίβαλε. μελίφρονα.] ἡδύν. ὑμῖν πάρ ποδόροισι μελίφρονα πυρὸν ἔβηκε.] τὸ ἐξῆς ἔτσι ἐστι.

οἶνον ἐγκεράσασα πιεῖν ὅτε θυμὸς ἀνώγοι, ἢ ἐμοὶ ὅσπερ οἱ θαλερὸς πόσις ὐχόμαι εἶναι.] ἐγκεράσασα ἐς κέρας· πρὸ τ γὰρ ὑγρεθῶσι τῶν τ ποτηρίων χρῆσιν, ἐς κέρας ἔπινον. ἐφομαρτέτω.] ἑπακολυθέτω. ἐμῷ σπουδαστῶ. ἀσπίλα νιφερήν.] καὶ τὸν Νίφορα, πρὸ ριφραστικῶς. ἐνιοι δὲ τὸ ὅπλον. ὑφαιρετόν τινα τὸν γὰρ ἴσον. κανόνας.] ῥάβδους ἅς ἐκράτουν τὰς ἀσπίλας. ὅπως γὰρ ἔχωσιν τοῖς πέρασιν. ὃς ὄχανα ἐκάλουν. ὕστερον γάρ ἔτι ἐπενόησαν ὑπὸ Καρῶν. ὡς καὶ Ἀναξήνωρ φησὶ καὶ εἰσβρύχιος ὀχανοῖο. ἐελπείμην.] ἐλπίσαιμι αὖ. αὐτοννυχί.] αὐτῇ τῇ νυκτί. ἐπιβησόμην.] ἐπιβαίνω. ἀνείμησεν.] ἐβάσπησεν. ὠρχήσθη δ' ἐφ' οἷς εὐαξίως ἔπαθε. σέσατο.] διεπονήθη, ἐταράχθη. ἐλίλαιεν.] κίνησιν. δυνατωτέρης.] μεγάλων ἀνάγκων ἔχων. ὀλοφύρηται.] οἰκτίρει, ἐλεῖ.

Ἑλίκην τε καὶ Αἰγάς.] πόλεις ἱβὰς Ποσειδῶνος. Αἰγὰς ἢ λέγει τὰς ἐν Εὐβοίᾳ. ἐπιτροπεύσω. χαρίεντα.] ἐπιτρέπω, ἡδέα. σὺ δέ σφισι βάλεο νίκην.] σὺ δὲ αὐτοῖς βοηθὸς γενοῦ, καὶ πρόθυμος ποίησαι τὴν νίκην. ἐρυκακέμεν.] κατέχειν, κωλύειν. Ζηνὸς.] Ζηνὸς τ Διός. ἀπάχοιτο.] λυποῖτο. ἀπρεπίς.] ἀπτόητε, ἐν τῷ λέγειν θρασέα. ἐνιοι δὲ θαρσαλέως ἀναγινώσκουσιν. ἵν' ἦ καθαπερ μνημονεύεις. τ δ' ὅσον ἐν πεδίῳ ἀπὸ πύργου τάφρου ἔβργε.] ὅσον ἀπὸ τ πυργου διάστημα ἦν ὅσον τὸ τεῖχος. ἢ ἀπὸ τ τείχους ἐπὶ τὴν τάφρον ἐπλήρου τ ὄχλος. ἄλλως ὅσον ἡ τάφρου ἀπέχει τ τείχους καὶ τ νεῶν, τοῦτο πλῆθος ἦν τοσῶν καὶ ἵππων. ἀμφότερα δὴ τὰ διαστήματα ἐπιστρωθέν τ τείχους. τὸ μὲν πρὸς τὴν τάφρον, τὸ δὲ πρὸς τὰς ναῦς ἐπὶ πλοῦτου. ἔβρεγεν.] ἀπεχώρει. πλῆθον.] ἐπληρώθησαν. εἰλομένων.] συναθροιζομένων. ἄλλ.] συνάθροισις συνέλευσις. κηλέῳ.] καυστικῷ. διαπύρῳ. ποιπνύσαντι.] ἐνεργήσαντι. πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ.] πορφυροῦν ἱμάτιον μεταχειρίζεται ὁ βασιλεὺς. ἐνίκα τ δύχερῶς ἑαυτὸν συμκεῖσθαι τοῖς Ἕλλησιν. ἐπεὶ ἀδιώατον ἦν διὰ βοῆς αὐτὸς διαπρᾶξαι. μεγαλήτει.] μεγάλην, παρὰ τὸ κῆτος ὃ πλατέα καὶ σύρυγχον. ἐν μεσσάτῳ.] ἐν τῷ μεσωτάτῳ τόπῳ. ἔσκεν.] ἦν, ὑπῆρχε. γεγαώσιν.] βεβῶσι. διαπρύσιον.] διὰ πλείονος μέσης, ὀξάκουστον. γεγαῶτες.] ἐκβοῶν, πράζων. ἀλαλὼς Ἀργείους.] ἀλαλάζοντας ὡς Ἕλληνες. ἦλθ' ἀγηνορέη.] τῷ ὀρθῶσαι μόνον θαυμαστέον, καὶ ὃν τρόπον ὄρεγε. πεγεναχέες.] λευκὰ καὶ μάταια λευχαίνοντες. ἂς ὁπότ' ἐν Λήμνῳ λεγεναχέες ἠγοράασθε, σκεδὼ

Οἶνόν τ' ἐγκεράσασα πιεῖν, ὅτε θυμὸς ἀνώγοι,
Ἠ ἐμοί, ὅσπερ οἱ θαλερὸς πόσις οὔχομαι εἶναι.
Ἀλλ' ἐφομαρτεῖτον, καὶ ἀπευθέτου, ὄφρα λάβωμεν
Ἀσπίδα νεσορέην, ῥῆγος, νῦν κλειτὸν ὄχανον ἔχει,
Πᾶσαν χρυσείην ἐμέναι, κνημῖδάς τε, καὶ αὐτῆ.
Αὐτὰρ ἀπ' ὤμοιϊν Διομήδεος ἱπποδάμοιο,
Δαιδάλεον βώρηκα, τὸν Ἥφαιστος κάμε τεύχων.
Εἰ τότε κε λάβοιμεν, ἐελπόμην κεν Ἀχαιοὺς
Αὐτοννυχὶ νηῶν ὀδὸν ἐγερέμεν ὠκείαων.
Ὣς ἔφατ' εὐχόμενος. νεμέσησε δὲ πότνια Ἥρη.
Εἷζετο δ' εἰνὶ θρόνῳ. ἐελέιξε δὲ μακρὸν ὄλυμπον,
Καί ῥα Ποσειδάωνα μέγαν θεὸν, αὐτίον ὕδης.
Ὦ πόποι ἦ νόσφιν γε καὶ εὐρυόδεες, ὃ σὺν Ζηνὶ
Ὀλλυμένῳ Δαναοῖσι ὀλοφύρεται ἦν φρεσὶ θυμός.
Οἱ δέ τοι εἰς Ἑλίκην τε, καὶ Αἰγὰς, δῶρ' ἀνάγουσι,
Πολλά τε, καὶ χαρίεντα. σὺ δὲ σφισι βάλλεο νίκην.
Εἰ περ γάρ κ' ἐθέλοιμεν, ὅσοι Δαναοῖσιν ἀρωγοί
Τρῶας ἀπώσασθαι, καὶ ἐρυκέμεν εὐρύοπα Ζῆν',
Αὐτὰρ ὁ γῦθ' ἁκάχοιτο καθήμενος οἷος ἐν Ἰδῃ.
Τὴν δὲ μεγ' ὀχθήσας, προσέφη κρείων Ἐνοσίχθων.
Ἥρη ἀπρεπὲς, ποῖον τὸν μῦθον ἔειπες;
Οὐκ ἂν ἐγὼν' ἐθέλοιμι Διὶ Κρονίωνι μάχεσθαι
Ἡμέας οὖν ἄλλους, ἐπεὶ πολὺ φέρτατός ὄσσιν.
Ὣς οἱ μὲν, τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Τῶν δ' ὅσον ἐκ νηῶν ἀκὴ πύργου τάφρος ἔεργε,
Πληθὺν ὁμῶς ἵππων τε, καὶ ἀνδρῶν ἀσπιστάων
Εἰλομένων. εἶλει δὲ θοῶν ἀτάλαντος Ἄρηϊ
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκε.
Καὶ νύκ' ἐπρήσσων πρῶτ' κηλέῳ νῆας ἐΐσας,
Εἰμὴ ὦλ φρεσὶ θῆκε Ἀγαμέμνονι πότνια Ἥρη,
Αὖθι ποιπνύσαντι θοὸς ὀτρῦναι Ἀχαιούς,
Βῆ δ' ἰέναι πρός τε κλισίας, καὶ νῆας Ἀχαιῶν,
Πορφύρεον μέγα φᾶρος ἔχων ἐν χειρὶ παχείῃ.
Στῆ δ' ἐπ' Ὀδυσσῆος μεγακήτεϊ νηῒ μελαίνῃ,
Ἠ ῥ' ἐν μεσσάτῳ ἔσκε, γεγωνέμεν ἀμφοτέρωθεν,
Ἠ μὲν ἐπ' Αἴαντος κλισίης Τελαμωνιάδαο,
Ἠδ' ἐπ' Ἀχιλλῆος, τοί ῥ' ἔσχατοι νῆας εἵσας
Εἰρυσαν, ἠνορέῃ πίσυνοι, καὶ κάρτεϊ χειρῶν.
Ἔνθ' ἐπὶ διαπρύσιον, Δαναοῖσι γεγωνώς.
Αἰδὼς Ἀργεῖοι, κάκ' ἐλέγχεα, εἴδεα ἀγητοί,
Πῆ ἔβαν εὐχωλαὶ, ὅτε δὴ φάμεν ἔμμεν ἄριστοι,
Ἀσπόστ' ἐν Λήμνῳ κρειοντέες ἠγοράασθε,

Ἔδοντες

Ἕδοντες κρέα πολλὰ βοῶν ὀρθοκραιράων,
Πίνοντες κρητῆρας ὑδρηφόας οἴνοιο,
Τρώων, ἀνθ' ἑκατόν μὲ δι' ἡμυσίων τε ἕκαστος
Στήσειθ' ᾧ πολέμῳ. νῦν δ' ὀδὸν ἐνὸς ἄξιοι εἰμὲν
Ἕκτορος. ὃς τάχα νῆας ἐμπρήσει πυρὶ καιρῷ.
Ζεῦ πάτερ, ἦ ῥά τιν' ἦσθ' ὑπερμενέων βασιλήων
Τῇ δ' ἄτῃ ἄασας, καί μιν μέγα κῦδος ἀπηύρας;
Οὐ μὲν δή ποτέ φημι τόσ' ἀπροφάτους ἀλέασθαι
Νηὶ πολυκληῖδι πεφυζότα ἐνθάδε ἐλθεῖν.
Ἀλλ' ὦ πᾶσι βοῶν ἡμῖν, καὶ μηρί' ἔκηα,
Ἱέμενος Τροίην εὐτείχεον ἐξαλαπάξαι.
Ἀλλὰ Ζεῦ, πόσε πέρ μοι ὑδὲ κρήηνον ἐέλδωρ.
Αὐτῶν δή πρ ἔασον ὑπεκφυγέειν, καὶ ἀλύξαι.
Μήδ' ὅτω Τρώεσσιν ἔα δάμναθαι Ἀχαιούς.
Ὣς φάτο. τὸν δὲ πατὴρ ὀλοφύρατο δακρυχέοντα.
Νόῦσε δὲ οἱ λαὸν σόον ἔμμεναι, ὄφρ' ἀρὲ λέσθαι.
Αὐτίκα δ' ἀετὸν ἧκε τελειότατον πετεηνῶν.
Νεβρὸν ἔχοντ' ὀνύχεσσι τέκος ἐλάφοιο ταχείης.
Πὰρ δὲ Διὸς βωμῷ ποδὶ καλλέϊ, πάββαλε νεβρόν.
Ἔνθα θανομφαίῳ Ζηνὶ ῥέζεσκον Ἀχαιοί.
Οἶδ' ὡς δὴν εἶδον ὅτ' ἄρ ἐκ Διὸς ἤλυθεν ὄρνις,
Μᾶλλον δὴ Τρώεσσι θοροῦν, μνήσαντο δὲ χάρμης.
Ἔνθ' ὅτις πρότερος Δαναῶν πολλῶν περ ἐόντων,
Εὖξατο Τυδείδαο πάρος ἀχέμεν ὠκέας ἵππους
Τάφρον τ' ἐξελάσαι, καὶ ἐναντίβιον μαχέσασθαι,
Ἀλλὰ πολὺ πρῶτος Τρώων ἕλεν ἀνδροκορυστὴς
Φαίδιμος Ἀγέλαον. ὁ μὲν, φύγαδ' ἔβαπεν ἵππους.
Τῷ δὲ μετασπεφθέντι, μετάφρενόν ἐν δουρὶ πῆξεν,
Ὦμον μεσσηγύς, διὰ δὲ στῆθεσφιν ἔλασσεν.
Ἤριπε δ' ἐξ ὀχέων, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Τὼ, δὲ μετ' Ἀτρεΐδαι, Ἀγαμέμνων, καὶ Μενέλαος,
Τοῖσι δ' ἐπ' Αἴαντες, θοῦριν ὑδὲ εἰμένοι ἀλκήν.
Τοῖσι δ' ἐπ' Ἰδομενεὺς, καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ.
Τοῖσι δ' Εὐρύπυλος Εὐαίμονος ἀγλαὸς υἱός.
Τοῦκρος δ' εἶνατος ἦλθε παλίντονα τόξα πιτείνων.
Στῆ δ' ἄρ ὄπιθ' Αἴαντος σάκει Τελαμωνιάδαο.
Ἔνθ' Αἴας μὲν ὑπεξέφερεν σάκος. αὐτὰρ ὅγ' ἥρως
Παπτήνας, ὧι ἄρτιν ὀϊστεύσας ἐν ὁμίλῳ
Βεβλήκει, ὅ μὲν, ἆσθι πεσὼν, ἀπὸ θυμὸν ὄλεσσεν.
Αὐτὰρ ὅ, ὤτις ἰὼν παῖς ὡς ὑπὸ μητέρα δύσκῃ
Εἰς Αἴαντ'. ὁ δὲ μιν σάκεϊ κρύπτασκε φαεινῷ
Ἔνθα τίνα πρῶτον Τρώων ἕλε Τοῦκρος ἀμύμων,
Ὀρσίλοχον μὲν πρῶτα, καὶ Ὄρμενον, δὴ Ὀφέλεστον,
Δαίτορά τε, Χρομίον τε, καὶ ἀντίθεον Λυκοφόντην,
Καὶ Πολυαιμονίδην Ἀμοπάονα, καὶ Μελάνιππον,
Πάντας

τικλῶ πορίσθαι. ὅτι ἐστὶ ἡ ἀνταπόδοσις. ὁ γὰρ λόγος ἔστι ἐν Λήμνῳ ἐναυχᾶσθαι. ὑγοράασθε.] ἐλίγεται. ἆς τινας ποτὲ ἐν Λήμνῳ ἐλίγετε καυχώμενοι οἶνον πλεῖστον καὶ κάλλιστον. ἐδόντες.] ἐδίοντες. ὀρθοκραιράων.] ὀρθὰ κέρατα ἐχόντων. ἐπισταφίας.] πλήρεις, ὁ δὲ λόγος μεταφορά. ἀνθ' ἑκατόν.] ἀντὶ τοῦ κατέναντι ἑκατὸν. θήσεσθαι.] μαχήσεσθαι. ἐὰ μὲν.] δὲ μὲν. ἐνιπρήσει.] καύσει. ὑπερμενέων.] ὑπὸρ τὸ λίαν βιάων. ὑπερισχόντων τῇ δυνάμει. ἄασας.] ἐλάψας. τιὸν.] τὸν σόν. ἔμμεναι ὑδὲ φθορὰν παραγινόμενον. ἵνα μὴ.] ἐπιθυμῶν, προθυμούμενος. αὐτὸς δή πρ.] ἡμᾶς αὐτούς. ἀλύξαι.] ἐκκλῖναι. ὀλοφύρατο.] κατῴκτισεν, ἐλέησε. σόον εἶμεν.] ὑπέσχετο. δὲ ἡμαυτῷ. τελειότατον.] ἤτοι μέγιστον, ἢ ἐν τελῇ σημεῖα φαίνοντα ἐπιτελεστικώτατον. λέγεται ἡ κατὰ τὸν τοῦ Διὸς γένεσιν τοῦ αὐτὸν γεννηθῆναι, ἵνα τῇ πρὸς τοὺς Γίγαντας μάχῃ παραπλῶσι. διόπερ ἐν τῇ διανεμήσει τῶν πηνῶν Ζεὺς αὐτῷ ἔλαιτο. ᾧ καὶ προσάσει καὶ ἀγγέλῳ αὐτῷ χρῆσθαι πρὸς ἑκάστας, ὃς ἐπιφανέστατος ἀξιοῖ. δθιμ καὶ αὐτὸς ἐκλήθη ἐκ ὡς τινες παρὰ τὸ αἴασθαι. ἀλλὰ παρὰ τὸ ἐστιὸν, σκληρόν, ὃ ἐστιν ἀληθές. νέβρον.] ἐλάφου γέννημα. πανομφαίῳ.] πάσης φήμης καὶ κλησέως ὀμφὴ γὰρ ἡ βία κλησέως. θόρον.] ἀφώρμησαν. σύξατο.] ἐκαυχήσατο, ἐλιλήθη. παρὸ σχέμεν.] ἐμπροσθεν σχεῖν. Φαίδιμος υἱόλαο.] Φαίδιμος παῖδα Ἀγέλαον. ἔλασε.] διήλασεν. ἀράβησεν.] ἐψόφησεν, ἤχησεν. ὀνοματοποιία ὁ ῥόπος. τὸν δὲ μετά.] μετὰ ἡ ἕτερον. ὄπαων.] ἀκόλουθος. ἀτάλαντος Ἐνυαλίῳ.] πολεμικός. ἴσος τῷ Ἄρει. τιτάνων.] ἐντείνων, ἕλκων. παλίντονα.] ἐς τὰ ἔπισθεν τεινόμενα. ὑπεξέφερεν.] ἔχεν αὐτὸ ἕτερ Τοῦκρος ἐποίησε. παπτήνας.] περιβλεψάμενος. ὧι ἄρτιν.] ἤτοι ἔνεμα κύριον ὁ Ἐπιάρτιος ἢ αὐτί τοῦ ἐπί τινα δή. ὀϊστεύσας.] τοξεύσας. δύσκῃ.] ἐπιδύνῃ, ὑπεισέρχεται. κρύπτασκεν.] ἐκρυπτε.

λοίρανε λαῶν.] βασιλεῦ ἄχλων. φόως.] φῶς, σωτηρία, σημαίνει ἢ τὸ κυρίως φῶς. ludi σι νόθ.ν πρ ἰόν-
τα.] Ηρακλῆς worθήσας Ιλιον, Ησιόνην τὴν Λαομέδοντος θυγατέρα, Πριάμου ἀδελφὴν, ἔλαβεν αἰχμάλωτον. καὶ
ἔλωκεν αὐτὴν γέρας Τελαμῶνι· ὡς συστρατεύσαντι αὐτῷ. ἀφ' ἧς ἴσχε Τεῦκρον ὁ Τελαμών. ὡς δὴ ἀπὸ Τρωϊκῆς
γυναικὸς τεχθέντα ἢ παῖδα, Τεῦκρον ἐπάλεσαν. πρεσβευσάμενοι ἢ πόνον, καὶ ποιήσαντες κύδιον. Τευκροὶ
γὰρ οἱ Τρῶες, ἀπὸ ἢ βασιλεύσαντος αὐτῶν Τεύκρου. ἡ δὲ ἱστορία ἀκριβέστερον ζήτεται παρά τε ἄλλοις πολλοῖς, καὶ
παρὰ Απολλωνίῳ τῷ γραμματικῷ ἐν Ναταλέγῳ νεῶν. ἐζήτηκε δὲ πῶς ἂν ἀπαύτων ἐπαινέσας τὸν Τεῦκρον, νεῶν
ἐπιφέρει νόθον. ὑμᾶς δὲ φαμὲν ἔτο μὴ εἶναι πρὸς αἰσχύνην διὰ τὸ παρὰ τοῖς
παλαιοῖς ἴδιον ἱεραῖμ. τίμιον γὰρ τὸν
νόθους ἐπίσης τοῖς γνησίοις. ἄλλως τε καὶ
καὶ αἰχμάλωτον Ησιόνην ἀλλὰ βασι-
λίδα. ἔτι καὶ αὐξήσεως ἕνεκεν ἔτ' ἀρῦ-
σθαι φαμέν. ὅτι τῇ ἀρετῇ καὶ τὸν γνη-
σίους ὑπερέβαλε. λομίσατο.] ἐπιμε-
λῶς ἠξίωσεν ὡς γνήσιον. σὺν κλέος
ἐπίδοσιν.] δόξης ἐπιδοῦναι ποίησον.
πρισθήτον.] πρεσβεῖον, ἄριστον, λέ-
γει δὲ τὸ ὑπὲρ τιμῆς διαλόμενον λῶρον.
ῥίπτοδα.] λέκτα, ἔχοντα αὐτοφυεῖς
πόλλας. αὐτοῖσιν ἔχεσφιν.] σὺν
τοῖς ἅρμασιν. ὁμὸν λέχος ἑσανα-
βάντε.] ἥτις δὲ αὖθι λοίτης λοιγωνήσει. σπασίδοντα.] ἑσπασμένα. ὠσά-
μεθα.] ἀπεωσάμεθα. ἐκ ἢ δὴ.] δὲ
ἐκάνε ἢ χρόνε. θελεγμένον.] ἐπι-
τηρῶν, ἢ προσλεχόμενον. ταναιγλώ-
χινας.] μακρὰς καὶ ὀξίας γωνίωσεις
ἐχοντας. ὁ ἔστιν ἀκίδας. ωὖχθεν.]
ἐνεπάγησαν. ἀρνειθόων.] πολεμι-
κῶν. λυσητῆρα.] μανιώδη, λυσσώ-
δη. ἄλλην.] ἐφίει, ἔπεμπεν. ἔν-
το.] προεθυμεῖτο, ὥρμα. Αἰσύμνη-
θεν.] ἀπὸ Αἰσύμνης πόλεως. ἀνυο-
μένην.] μεμνησευμένην, γιγαμπένην.
μήκων δ' ὥς.] ὡς μήκων. ὁ δρό-
πος κάνασπος. μήκων δ' ὡς ἑτέ-
θησε λαρὴ βάλεν ὕπ' ἐνὶ λήπῳ.] ὕποτε
τὸ π. μετὰ ἢ τι πρωτοσύνει ἵν' ἢ ὡς
μήκων ἑτέθησε λαρὴ βάλεν. ᾗ τῷ βε-
βολμένη λείπει ῥῆμα. καὶ ἔτι μετοχὴ
αὐτὶ ῥήματος. λαρὴ βάλεν.] ἀπέ-
πλιπε τὴν λιφαλλὼ. ὕπ' ἐνὶ κήπῳ.]
σημειωτέον ὅτι βαλυκῶς εἶπε τὴν μήκω
να. βεβολμένη.] αὐτὶ ἢ βρίθεται, ὅ ἐστι
βαρεῖται. καὶ ὀχ ὡς τινες ἕπορ βαρυμένη. λίχρηται γὰρ τῇ μετοχῇ, αὐτὶ ῥήματος καὶ ἔστι τὸ σχῆμα Αἰολικὸν. 50
νοστήσαι τε ἑαερινῆσι.] λεβέσσις ᾗ ψυκάσιν ἑαερινᾶις. ὕμνεσιν.] ἐπέκλινε. πόλλακι βαρυνθέν.] τῇ περικεφαλαίᾳ
βρύνθεν. παρήρφλε.] σφαλλὼ καὶ ἀποτυχὼν ἐποίησεν. ἐμμένον.] ἐρμῶντα. ὑπερώησαν.] ὑπεχώρησαν.
πύνασε.]

Πάντας ἐπασυτόρους ἔλασε χθονὶ παλιβοτείρῃ.
Τὸν δὲ ἰδὼν, γήθησεν ἄναξ ἀνδρῶν Αγαμέμνων,
Τόξα ἄρ' κρατερὸν Τρώων ὀλέκοντα φάλαγγας.
Στῆ δὲ παρ' αὐτὸν ἰὼν, καί μιν πτερὸς μῦθον ἔειπε.
Τεῦκρε φίλη κεφαλὴ, Τελαμόνιε λοιρανε λαῶν,
Βάλλ' ἔτι, φαίνῃ τι φόως Δαναοῖσι γένηαι
Πατρί τε σῷ Τελαμῶνι, ὅς σ' ἔτρεφε τυτθὸν ἐόντα,
Καί σε νόθον περ ἐόντα, νομίσατο ᾧ ἐνὶ οἴκῳ.
Τόν. κὰι τηλόθ' ἐόντα, εὐκλείης ἐπέβησον,
Σοισὶ δ' ἐγὼ ἄρξερέω ὡς καὶ τετελεσμένον ἔσται.
Αἰκὲ μοι δώῃ Ζεὺς ἀγιόχος, καὶ Αθήνη,
Ἰλιον ἄρ καλαπάξαι εὐκτίμενον πτολίεθρον,
Πρώτῳ τοι μετ' ἐμὲ πρεσβήϊον ᾗ χεὶ θήσω,
Ἢ τρίποδ', ἠὲ δύω ἵππους αὐτοῖσιν ὀχέσφιν,
Ἠὲ γυναῖκ', ἣ κέν τοι ὁμὸν λέχος εἰσαναβαίνοι.
Τὸν δ' ἀπαμειβόμενος, προσεφώνεε Τεῦκρος ἀμύμων.
Ἀτρεΐδη κύδιστε, τί με προέηκας καὶ αὐτὸν
Ὀτρύνεις; τὸ μὲν τοι ὅσον δυνάμις γε πάρεστι,
Πάσομαι, ἀλλ' ἄρχε· ὅ ποτε Ιλιον ὠσάμεθ' αὖθις.
Ἐκτὸς, ἐπὶ τόξοισι θελεγμένος ἄνδρας ἐναίρω.
Ὀκτὼ δὴ πρόσθεν κα ταναυγλώχινας ὀϊστοὺς
Πάντες δ' ἐν χροΐ πῆχθεν ἀρηϊθόων ἀζηῶν.
Τὸ τὸν δ' ὃ δύναμαι βαλέειν κύνα λυσητῆρα.
Ἦ ῥα, καὶ ἄλλον ὀϊστὸν ἀφ' νὐρῆφιν ἐκλιν
Ἕκτορ αὐτικρὺ, βαλέειν δὲ ἔ ἵετο θυμός.
Καὶ τὸ, μὺν ῥ' ἀφάμαρθ', ὃς δ' ἀμύμονα Γοργυθίωνα
Υἱὸν ἐϋν Πριάμοιο ἠΐ σθένος βάλεν ἰῷ.
Τόν, ῥ' ἄρ Αἰσύμνθεν ὀπυομένη τέκε μήτηρ,
Καλὴ Κασιανείρα, δέμας εἰκυῖα θεῇσι.
Μήκωνι δ' ὣς, ἑτέρωσε κάρη βάλεν, ἤτ' ἐνὶ κήπῳ
Καρπῷ βριθομένη, νοτίῃσί τε ἐαρινῇσιν,
Ὣς ἑτέρωσ' ἤμυσε κάρη πήληκι βαρυνθέν.
Τεῦκρος δ' ἄλλον ὀϊστὸν ἀφ' νὐρῆφιν ἐκλιν
Ἕκτορος αὐτικρύ, βαλέειν δὲ ἔ ἵετο θυμός.
Ἀλλ' ὅγε καὶ τόν ἅμαρτε. πρὸ ἔσφυλον γὰρ Απόλλων.
Ἀλλ' Αρχεπτόλεμον βρασιὺν Ἕκτορος ἡνιόχησε
Ἰέμενον πόλεμόν δε, βάλε στῆθος παρὰ μαζόν.
Ἤειπε δ' ἄρ ὀχέων, ὑπερώησαν δὲ οἱ ἵπποι
Ὠκύποδες.

Ὠκύποδες. πρὸσ δ' αὖθι λύθη ψυχή τε μένος τε,
Ἕκτορα δ' ἀενὸν ἄχθ' σύνασε φέρεν ἡνίοχοιο,
Τὸν μὲν, ἔπειτ' ἐάσε κὰκ ἀχνύμενος πῆ ἑταίρου.
Κεβριόνην δ' ἐκέλευσεν ἀδελφεὸν ἐγχυς ἐόντα,
Ἵππων ἡνί' ἑλεῖν. ὁδὶ δ' ἄρ' ἐκ ἀπίθησεν ἀκούσας,
Αὐτὸς δ' ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,
Σμερδαλέα ἰάχων. ὁ δὲ χερμάδιον λάβε χειρί.
Βῆ δ' ἰθὺς Τεύκρου. βαλέειν δὲ ἑ θυμὸς ἀνώγει.
Ἠτοι ὁ μὲν φαρέτρης ἰὸν εἵλετο πικρὸν οἰστὸν,
Θῆκε δ' ἐπὶ νευρῇ. τὸν δ' ὧν ποτιβάλετο Ἕκτωρ
Αὖ ἐρύοντα, πρὸ ὧμον, ὅθι κληῖς ἀρέρεγει
Αὐχένα τε. στῆθός τε, μάλιστα δὲ καιρίον ὄβριν,
Τῇ ῥ' ὧπ οἱ μεμαῶτα βάλε λίθῳ ὀκριόεντι.
Ῥῆξε δὲ οἱ νευρὴν. νάρκησε δὲ χεὶρ ὧπ καρπῷ.
Στῆ δὲ γυνὺξ ἐειπὼν, τόξον δὲ οἱ ἔπεσε χειρός.
Αἴας δ' ὀκ ἀμέλησε κασιγνήτοιο πεσόντος,
Ἀλλὰ θέων πρόσθε, ☩ οἱ σάκος ἀμφεκάλυψε,
Τόν, μὲν ἔπειθ' ὑποδὺς τε νέον ἐρίηρες ἑταῖροι
Μηκιστεὺς Ἐχίοιο πάϊς, κὰκ δῖος Ἀλάστωρ,
Νῆας ὧπ γλαφυρὰς φερέτην βαρέα στενάχοντα.
Ἆψ δ' αὖτις Τρώεσσιν ὀλύμπιος ὦρσεν Ἄρηα
Οἷσ' ἰθὺς τάφροιο βαθείης ὦσαν Ἀχαιοί. +
Ἕκτωρ δ' ὲν πρώτοισι κίε, θῆκε βλεμεαίνων.
Ὡς δ' ὅτε πὶς τε κύων συὸς ἀγρίου, ἠὲ λέοντος,
Ἅπτηται κατόπισθε, ποσὶν ταχέεσσι πεποιθὼς,
Ἰσχίαδ', ἠὲ τε, ἑλιστόμενός τε δοκεύει,
Ὡς Ἕκτωρ ὤπαζε καρηκομόωντας Ἀχαιούς.
Οἱ δ' ἀρκτεύνων τὸν ὀπίστατον, οἵσ' ἐφέβοντο.
Αὐτὰρ ἐπεὶ σ' ἰάκτε σκόλοπας, κὰκ τάφρον ἔβησαν
Φεύγοντες, πολλοὶ δὲ δάμεν Τρώων ὑπὸ χερσίν,
Οἱ μὲν, σ' ἡ πρὸ νηυσὶν ἐρυτύοντο μένοντες,
Ἀλλήλοισί τε κεκλόμενοι. κὰκ πᾶσι θεοῖσι
Χεῖρας ἀνίσχοντες, μεγάλ' εὐχετόωντο ἕκαστος.
Ἕκτωρ δ' ἀμφὶ πόδ' ἰσχῴφα καλλίτριχας ἵππους
Γοργῆς ὄμματ' ἔχων, ἠδὲ βροτολοιγὸ Ἄρηϊ.
Τὸς, δὲ ἰδὼν ἐλέησε θεὰ λευκώλενος Ἥρη.
Αἶψα δ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα.
Ὤ πόποι αἰγιόχοιο Διὸς τέκος, οὐκέτι νῶϊ
Ὀλλυμένων Δαναοῖς κεκαδήσομεθ' ὑστάτιόν πῆς;
Οἷκον δὴ κακὸν οἶτον ἀναπλήσαντες, ὄλωνται
Ἀνδρὸς ἑνὸς ῥιπῇ, ὁ δὲ μαίνεται οὐκέτ' ἀνεκτῶς,
Ἕκτωρ Πριαμίδης, κὰκ δὴ κακὰ πολλὰ ἔοργε.
Τὴν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη,
Καὶ λίην ὄτος γε μένος, θυμοῦ τ' ὀλέσειε,
Χερσὶν ὑφ' Ἀργείων φθίμενος ἐν πατρίδι γαίῃ,
Ἀλλὰ πατὴρ οὗμὸς φρεσὶ μαίνεται οὐκ ἀγαθῇσι,

Σχέτλιος

πύκασι.] συνέσχεμ, ἐκάλυψε. βόρε.] κατεπήλησεν. αὖ ἐρίουν τα.] ἐς τὸ πίσω ἕλκοντα. κληῖς.] διατάπλεις. ἀποίργει.] ἀπέργει. ναρήπησεν.] ἐναρήπησεν, ἐλύθη. γνὺξ.] ὠδὶ γόνυ. ὄριπὼν.] πεσών. ὀκ ἀμέλησεν.] ἐφρόντισεν. ὁ ὑπὸ αὐτίφρασις. ὄβριν.] πτερύγιον. ἐναρίζων.] ὑπεισελθόντες. ἀδινὸ βλεμεαίνων.] σφοδρῶς ἐπιβρωννύμενος. ἐνίοις ἢ τῷ βλέμματι φοβῶν. οἷον τῶν λεόντων μὴ ἀλλὰ τὸ βλέμμα τος ἐνδεικνύμενος. συὸς ἀγρίου.] σάγρα. συμεωτέον ἢ ὅτι τὰ τοιαῦτα ἐνδύματα διηρημένως λέγεται, ὡς τὸ ἄγγειον αἶγα. ἑλισσόμενος.] συστρεφόμενος. δοκεύει.] ἐπιτηρεῖ. ὤπαζε.] διατόπιν ἐλίσσει, διατέμνει. τὸν ὀπίστατον.] τὸν τελευταῖον. σκόλοπες.] τὰ ἀποξυσμένα ξύλα. δάμεν.] αὐηρέθησαν. ὁρμύοντο.] κατέχοντο. κεκλόμενοι.] ἐγκελευόμενοι. ἀμφιβρίστρωφα.] πανταχοῦ στρεφόμενα, ὅ ἐστιν ἐνοργῶν περιέλαυνε. Γοργῆς ὄμματ' ἔχων.] Γοργόπης, ἡ αἰτιατικὴ Γοργόν. ἤτοι φοβερά. ἀπὸ συβέας ἢ Γοργῶ ἐπὶ τῶν γενικῶν. ἢ εἴματα, αἰτιατικὴ ὁρμήματα. νῶ.] ἡμεῖς. κοινὴ ἡ διάλεκτος. Δωριεῖς δέ φασιν, ἄμμες. Αἰολεῖς, ἄμμι. Ἀττικοὶ ἢ, νῶϊ. Ἰωνες, ἡμέτερος. ὅθεν ἢ αὐτῶν ἀνία ἀντὶ τοῦ ἡμῶν καὶ ἡμῖν. ἐκέτι νῶϊ.] καὶ τὰ ἑξῆς. ἐκ ἔτι σώσει θῶμεν τὸς Ἕλληνας. ἐ κηδεμονίαν καὶ φροντίδα ποιησόμεθα ἀλλ ὑστέρως. κεκαδήσομεθα.] λυπησόμεθα, φροντιοῦμεν. ὑστάτιον.] ἀλλ ὑστέρως. οἶτον.] μέρος. ῥιπῇ.] τῇ φορᾷ. ἀϋτμῶς.] ἀσχετῶς. καὶ λίην ἔτος γε.] καὶ λίαν ἔτος. ὁ θυμός. σχέτλιος.]

Σχέτλιος, αἰὲν ἀλιτρός, ἐμῶν μενέων ἀπερωεύς.
Οὐδέ τι τῶν μέμνηται, ὅ οἱ μάλα πολλάκις υἱὸν
Τειρόμενον σώεσκον ὑπ' Εὐρυσθῆος ἀέθλων,
Ἤτοι ὁ μὲν κλαίεσκε πρὸς οὐρανόν, αὐτὰρ ἐμὲ Ζεὺς
Τῷ ἐπαλεξήσουσαν ἀπ' οὐρανόθεν προΐαλλεν,
Εἰ γὰρ ἐγὼ τάδε ᾔδε' ἐνὶ φρεσὶ πευκαλίμῃσιν,
Εὖτέ μιν εἰς Ἀΐδαο πυλάρταο προὔπεμψεν,
Ἐξ ἐρέβευς ἄξοντα κύνα στυγεροῦ Ἀΐδαο,
Οὐκ ἂν ὑπεξέφυγε Στυγὸς ὕδατος αἰπὰ ῥέεθρα,
Νῦν δ' ἐμὲ μὲν στυγέει, Θέτιδος δ' ἐξήνυσε βουλάς,
Ἥ οἱ γούνατ' ἔκυσσε, καὶ ἔλλαβε χειρὶ γενείου,
Λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον,
Ἔσται μὰν ὅτ' ἂν αὖτε φίλην γλαυκώπιδα εἴπῃ,
Ἀλλὰ σὺ μὲν νῦν νῶϊν ἐπέντυε μώνυχας ἵππους,
Ὄφρ' ἂν ἐγὼ καταδῦσα Διὸς δόμον αἰγιόχοιο,
Τεύχεσιν ἐς πόλεμον θωρήξομαι, ὄφρα ἴδωμαι,
Εἰ νῶϊν Πριάμοιο πάϊς κορυθαίολος Ἕκτωρ
Γηθήσει, προφανέντε ἀνὰ πτολέμοιο γεφύρας,
Ἤτις καὶ Τρώων κορέει κύνας, ἠδ' οἰωνοὺς
Δημῷ, καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
Ὣς ἔφατ', οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη,
Ἡ μὲν ἐποιχομένη, χρυσάμπυκας ἔντυεν ἵππους
Ἥρη, πρέσβα θεά, θυγάτηρ μεγάλοιο Κρόνοιο,
Αὐτὰρ Ἀθηναίη κούρη Διὸς αἰγιόχοιο,
Πέπλον μὲν κατέχευεν ἑανὸν πατρὸς ἐπ' οὔδει,
Ποικίλον, ὅν ῥ' αὐτὴ ποιήσατο, καὶ κάμε χερσίν,
Ἡ δὲ χιτῶν' ἐνδῦσα Διὸς νεφεληγερέταο,
Τεύχεσιν ἐς πόλεμον θωρήσσετο δακρυόεντα.
Ἐς δ' ὄχεα, φλόγεα ποσὶ βήσετο, λάζετο δ' ἔγχος
Βριθύ, μέγα στιβαρόν, τῷ δάμνησι στίχας ἀνδρῶν
Ἡρώων, τοῖσίν τε κοτέσσεται ὀβριμοπάτρη.
Ἥρη δὲ μάστιγι θοῶς ἐπεμαίετ' ἄρ' ἵππους,
Αὐτόμαται δὲ πύλαι μύκον οὐρανοῦ, ἃς ἔχον Ὧραι,
Τῇς ἐπιτέτραπται μέγας οὐρανός, Οὔλυμπός τε,
Ἠμὲν ἀνακλῖναι πυκινὸν νέφος, ἠδ' ἐπιθεῖναι,
Τῇ ῥα δι' αὐτάων κεντρηνεκέας ἔχον ἵππους.
Ζεὺς δὲ πατὴρ Ἴδηθεν ἐπεὶ ἴδε χώσατ' ἄρ' αἰνῶς,
Ἶριν δ' ὄτρυνε χρυσόπτερον ἀγγελέουσαν,
Βάσκ' ἴθι Ἶρι ταχεῖα πάλιν τρέπε, μηδ' ἔα ἄντην
Ἔρχεσθ', οὐ γὰρ καλὰ συνοισόμεθα πτόλεμόνδε.

σχέτλιος.] νῦν ἐπισχετικῶς. ἀλιτρός.] ἁμαρτωλός, ἄδικος. ἐμῶν μενέων ἀπερωεύς.] τῆς ἐμῆς δυνάμεως καὶ προθυμίας κωλυτής. σώεσκον.] ἔσωζον. Εὐρυσθῆος.] Εὐρυσθέως τοῦ Ἀργείων βασιλέως τοῦ ἐπιτάττοντος Ἡρακλεῖ τοὺς ἄθλους. ἀέθλων.] ἄθλων, κακοπαθειῶν. ἀπαλεξήσουσαν.] ἐπικουρήσουσαν, βοηθήσουσαν. προΐαλλε.] προέπεμπεν. ᾔδεα.] ᾔδειν, ἠπιστάμην. πευκαλίμησι.] συνεταῖς, ἢ πικραῖς παρὰ τὴν πεύκην. εὖτέ μιν.] ὁπότε αὐτόν. πυλάρταο.] ἰσχυρῶς συναρμόζοντος καὶ κλείοντος τὰς πύλας, διὰ τὸ μηδένα ὑποστρέφειν ἐξ ᾅδου. ἐξ ἐρέβευς.] ἐκ τοῦ ἐρέβους. ὅ ἐστι σκότους. ἔστι δὲ ὁ πρὸ τοῦ Ταρτάρου τόπος. κύνα ἀΐδαο.] τὸν Κέρβερον. τελεσθέντων τῶν τοῦ Ἡρακλέους ἄθλων ἐν μησὶ καὶ ἔτεσιν ὀκτώ, μὴ προσδεχόμενος Εὐρυσθεὺς τόν τε τῶν Αὐγέου βοσκημάτων ἄθλον, καὶ τὸν ὕδρας, ἑνδέκατον ἐπέταξεν ἆθλον αὐτῷ τὸν Κέρβερον ἐξ ᾅδου κομίζειν. ἔχει δὲ οὗτος τρεῖς μὲν κυνῶν κεφαλάς, τὴν δὲ οὐρὰν δράκοντος. μέλλων οὖν ἐπὶ τοῦτον ἀπιέναι, ἦλθε πρὸς Εὔμολπον εἰς Ἐλευσῖνα, βουλόμενος μυηθῆναι. ἦν δὲ οὐκ ἐξὸν ξένοις τότε μυεῖσθαι, διὸ γίνεται Πυλίου θετὸς υἱός. καὶ παραγενόμενος ἐμυεῖτο. μὴ δυνάμενος οὖν ἰδεῖν τὰ μυστήρια, ἐπεὶ οὐχ ἡγνίσθη τοῦ τῶν Κενταύρων φόνου, ἁγνισθεὶς ὑπὸ Εὐμόλπου τότε ἐμυήθη. καὶ παραγενόμενος ἐπὶ τὸ Ταίναρον τῆς Λακωνικῆς ἀκρωτήριον, ὃ τῆς ᾅδου καταβάσεως ἐστὶ στόμιον, διὰ τούτου καθίει. ὡς δὲ εἶδον αὐτὸν αἱ ψυχαί, χωρὶς Μελεάγρου καὶ Μεδούσης τῆς Γοργόνος, εὐθὺς ἔφυγον. ἐπὶ δὲ τὴν Γοργόνα τὸ ξίφος ὡς ζῶσαν ἕλκει. καὶ παρὰ Ἑρμοῦ μανθάνει ὅτι ἐστὶ κενὸν εἴδωλον. πλησίον δὲ τῶν τοῦ ᾅδου πυλῶν γενόμενος Θησέα ἐγείρει, καθήμενον ἐπὶ ἀκινήτου θρόνου. ὁμοίως δὲ καὶ Πειρίθουν ἐβουλήθη. καὶ τῆς γῆς πολὺ σειομένης, οὐκ ἠδυνήθη. ἀπεκύλισε δὲ καὶ τὸν Ἀσκαλάφου πέτρον. βουλόμενος δὲ αἷμα ταῖς ψυχαῖς παρασχέσθαι, μίαν τῶν ᾅδου βοῶν ἀπέσφαξεν. *λείπει.* αἰπά.] ὑψηλά. ἐξ οὗ καὶ χαλεπά. στυγός.] Στὺξ μία τῶν Ὠκεανοῦ θυγατέρων ἣν ὁ Ζεὺς φρικωδέστατον ὅρκον τῶν θεῶν ἐποίησε, τιμήσας αὐτὴν ὥς φησιν Ἡσίοδος ἐν θεογονίᾳ. ἔστι δὲ καὶ κρήνη ἐν ᾅδου. ἐξήνυσεν.] ἐτέλεσεν, ἐπλήρωσε. γούνατ' ἔκυσσεν.] ἐγονυπέτησεν. ἔκυσε.] προσεκύνησεν, ἐφίλησεν. ἔσται μάν.] ἔσται μὴν καιρός. ἐπέντυνε.] ἡτοίμαζε, παρασκεύαζε. καταδῦσα.] εἰσελθοῦσα, μεταφορὰ ὁ τρόπος. πάϊς.] παῖς. προφανέντε.] φανέντας, ὀφθέντας. κορέει.] κορέσει. δημῷ.] τῇ πιμελῇ, τῷ λίπει. λάζετο.] ἔλαβεν. ἐπεμαίετο.] ἔπληξε. μύκον.] ἠνοίγησαν, ἤχησαν, ὀνοματοποιία ὁ τρόπος. πάλιν τρέπε.] εἰς τοὐπίσω ἔτρεπεν. ἄντην.] ἐξ ἐναντίας. συνοισόμεθα.] συναχθησόμεθα, συμβαλοῦμεν. γνώσῃ.]

Ὣς ἐφάμην· τόφρα δὲ καὶ τετελεσμένον ἔσται
γυιώσω μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
Αὐτὰς δ' ἐκ δίφρου βαλέω, κατὰ δ' ἅρματα ἄξω.
Οὐδέ κεν ὧδε δεκάτους πόδας ἐλθόμενος γνιαφοῦμαι,
Εἰ μὴ ἀποπλήσεσθον, ἄκεν μάρψῃσι κεραυνός.
Ὄφρ' εἰδῇς γλαυκῶπις, ὅτ' οὐ σῷ πατρὶ μάχηται,
Ἦρη δ' ὄπποτε νεμεσίζομαι, ὀδὲ χολοῦμαι,
Αἰεὶ γάρ μοι ἔωθεν ἐνίκλαγξ', ὅ, τι νοήσω.
Ὣς ἔφατ' οὐδ' ἀπίθησε θεὰ γλαυκῶπις Ἀθήνη,
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων ὀδὸν μακρὸν Ὄλυμπον,
Πρώτῃσι δὲ φύλλῃσι πολυπίδακος Ἀλύμποιο
Ἀντομένη κατέρυκε. Διὸς δὲ σφ' ἔννεπε μῦθον.
Πῆ μέματον; τί σφῶϊν ἐνὶ φρεσὶ μαίνεται ἦτορ;
Οὐκ ἐπὶ Κρονίδῃς ἐπαμυνέμεν Ἀργείοισι.
Ὣδε γὰρ ἠπείλησε Κρόνου παῖς, εἰ τελέειτε,
Γυιώσειν μὲν σφῶϊν ὑφ' ἅρμασιν ὠκέας ἵππους,
Αὐτὰς δ' ἐκ δίφρου βαλέειν, κατὰ δ' ἅρματα ἄξειν.
Οὐδέ κεν ὧδε δεκάτους πόδας ἐλθόμενος γνιαφοῖτο,
Εἰ μὴ ἀποπλήσεσθον, ἄκεν μάρψῃσι κεραυνός.
Ὄφρ' εἰδῇς γλαυκῶπι, ὅτ' οὐ σῷ πατρὶ μάχῃαι,
Ἦρῃ δ' ὄπποτε νεμεσίζεται, ὀδὲ χολᾶται.
Αἰεὶ γάρ οἱ ἔωθεν ἐνίκλαῦ ὅ, τι νοήσῃ.
Ἀλλὰ σύγ' ἀνοτάτῃ κύνῃ ἀδδήεις, εἰ ἐτεόν γε
Τολμήσεις, Διὸς ἄντα πελώριον ἔγχος ἀείρας,
Ἦ μὲν, ἄρ' ὣς εἰπόσ', ἀπέβη πόδας ὠκέα Ἰρις.
Αὐτὰρ Ἀθηναίῃ ἦρχε πρὸς μῦθον ἔειπεν.
Ὤ πόποι αἰγιόχοιο Διὸς τέκος, ὠκέτ' ἔγωγε,
Νδίῃ ἐφ Διὸς ἄντα βροτῷ φῶτ' ἔκεν πολεμίζειν.
Τῷ ἄλλῳ μὲν ἀρηφιδέω, ἄλλῳ δὲ βιώτῳ,
Ὅς κε τύχῃ. κεῖνος δὲ τάχ', ἃ φρονέων ἐνὶ θυμῷ,
Τρωσί τε Δαναοῖσι δικάζετο, ὡς ὐδικέεσκε.
Ὣ αὖτε φωνήσασα, πάλιν τρέπε μώνυχας ἵππους.
Τῆσιν δ' ὧραι μὲν λῦσαν καλλίτριχας ἵππους.
Καὶ σφὼ, μὲν κατέδυσαν ἐπ' ἀμβροσίῃσι κάπῃσιν,
Ἅρματα δ' ἔκλιναν πρὸς ἐνώπια παμφαόωντα.
Αὐτὰρ δὲ χρυσέοισιν ὑπὸ κλισμοῖσι κάθιζον,
Μίγδ' ἄλλοισι θεοῖσι φίλον τετιημένοι ἦτορ.
Ζεὺς δὲ πατὴρ Ἰδηθεν εὐτροχον ἅρμα καὶ ἵππους,
Οὔλυμπόν δ' ἐδίωκε θεῶν δ' ἀγίκετο θώκους,
Τῷ δὲ Ποσειδάων μὲν λῦσε κλυτὸς Ἐννοσίγαιος,
Ἅρματα δ' ἀμβωμοῖσι τίθει, ἐπὶ λίτα πετάσας.
Αὐτὸς δὲ χρύσειον ὑπὸ θρόνον εὐρύοπα Ζεὺς
Ἕζετο, τοῦ δ' ὑπὸ ποσσὶ μέγας πελεμίζετ' Ὄλυμπος.
Οἶος δ' οἷος Διὸς ἀμφὶς, Ἀθηναίη τε, Ἥρη τε,
Ἥατην. ὀδέ τι μιν πρόσθεν φάνεσκον, ὀδ' ἔρεοντο,
Αὐτάρ, ὅ, ἔγνω ἦσιν ἐνὶ φρεσὶ, φώνησέν τε,

Τίφθ'

γυιώσω.] χολώσω. ἄξειν.] καλάξω, συν
τρίψω. λελάθοντο.] λήθω. περιτελ
λομένους.] περιερχομένους, πληρουμένους.
ἀπαλθήσεσθον.] ἰαθήσεσθε, λυθήσε
σθε. μάρψῃσι.] καταλάβῃ, κατάσχῃ.
νεμεσίζομαι.] μέμφομαι. ὀδὲ χολοῦμαι.] οὐδὲ ὀργίζομαι. ἔωθεν.] ἀεὶ γὰρ
ἔθος ἔχει. ἐνικλᾶν.] ἐμποδίζειν. ἀλλ
λοπρόσ.] ταχύπους παρὰ τὰς ἄλλας, ὃ
ἐστιν αὔλιμος. πολυπίδακος.] πολλὰ
ἀποπλίσματα ἐχόντος, καὶ ὑδρόχαρ.
αὐτομένη.] ἀπαντήσασα. κατέρυ
κε.] ἐπέσχεν. ἔννεπεν.] ἔλεγε. Διὸς δόσφ' ἔννεπε μῦθον.] τὴν δὲ
τὸν Διὸς λόγον αὐτῆς ἀπήγγειλε. πῆ
μέματον.] πῇ προθυμεῖσθον. ἢ τελεῖ
τον.] ἢ ἐς τέλος ἄξει. πολυρώσει
νον.] αὐαλισάτη. ἀδήεις.] ἄ
φοβε. τολμήσεις.] ὑπομενεῖς, καρτε
ρήσεις. αὖτα.] βιαιοτάτως. ἀεῖ
ραι.] ἆραι. ἀποφθίδω.] ἀποφθαρέ
το. βιώτῳ.] βιασάτῳ. ὡς ἐπιεικὴς.]
ὡς πρέπει καὶ ἐγχωρεῖ. πάλιν τρέ
πεν.] ἐς τὸπίσω ἀπέτριπε. μώνυ
χας.] μονώνυχας. πρὸς σύγκρισιν τῶν
βοῶν τὸ προβάτων, καὶ τοῖπῶν τῶν
ἐχόντων χηλάς. κάπῃσι.] φάτναις.
παρὰ τὸ ἐν αὐταῖς ἱσταμένους τοὺς ἵπ
πους κάπτειν ὅ ἐστιν ἐσθίειν. πρὸς ἐ
νώπια.] πρὸς τοὺς ἐναντίους τὸ ἀσό
λωτοίχους. διὰ τὸ φωτίζεσθαι ὑπὸ τοῦ
θυρῶν. φαμφανόωντα.] φαίνοντα,
λάμποντα. κλισμοῖσι.] θρόνοις ἐ
χουσιν ἀνακλίσεις. μίγδ' ἄλλοισι.]
ἀναμεμιγμένοι τοῖς λοιποῖς. τετιη
μένοι.] τεταλαιπωρημένοι, τετιμωρημέ
νοι. λίσσεσθαι.] ἱκετεύειν. βῆσετο.]
κατέλαβε. θώκους.] τὰ συνέδρια, τὰς
καθέδρας. ἀμβωμοῖσι.] περὶ τοῖς
βωμοῖς. κατὰ λῖτα πετάσας.] λα
παστάσας λινοῦν ἱμάτιον, ἁπλώσας.
πελεμίζετο.] ἐκινεῖτο. Διὸς ἀμ
φίς.] τὸν Διὸς χωρίς. ἥατην.] ἐκαθί
ζοντο.

τετίηθον.]

τετίνδθαι.] τιθαλαπώρηδι. ὁ μὲν θυμ.] ὁ δὲ λύ. πάμπαν.] πεπμήκατε, πεπονιάκατε. παύτως οἷον ἐμόν γε μένος.] καὶ τὰ ἑξῆς. ὁ ἢ τ παύτων μέγιστος θεὸς δώσαμις φησὶ τηλικαύτη ὑπάρχειν. ὡς μὴ ἢ ὑπὸ παύτων θεῶν λύεσθαι καταγωνιζῶν. δρέψαν.] μετατρέψαν, πωλύσαν. μύρσαν.] μοίρας ἄξια, χαλεπά. πλησίον τε.] αὐτί τ πλησῆσαι. ἐπέμυξαν.] μεμυκόσι τοῖς χάλεισιν, ἐπεσίναξαν, ἐγόγγυσαν. ἀκέων.] αὐτί τ ἀκλῶ, ὑσυχάζουσα. ἄγγελος.] αἰθέμβορος, χαλεπός. ὀκ ἐπιειπτόν.] ὀκ εὐεικτὸν, ὀκ εὐσυγχώρητον. ὑῶς.] ἑωθινὸν, ὄρθρου. τῇ ἐπιούσῃ ἡμέρᾳ. ὦρθαι.] διηγέρθῶαι. παρὰ ναῦφι.] παρὰ τᾶις νυσί. γένεα.] γενόμενα. γένες γὰρ ἔωθε λέγειν τὸν σχολῶ ὁδόν. λέγ ἢ τὸν ὑπὸ πολλῶ πλήθες γενοχωρίαν. αἰνετάτω.] τῷ χαλεπῷ διὰ τὸν φόβον. θισφατον.] θεόλεκτον, μεμοιραμένον. ἐσλ ἐπέμ.] ἐσ ἐαύ. νέατα.] κατώτατα, ἔσχατα. ἵκηαι.] παραγένηαι, ἀπέλθῃς.

Ιαπετὸς Οὐρανῦ παῖς ἐς τ τιτάνων. γάμης καὶ κόντοιο ἵν' Ιαπετός τε Κρόνος τε] Διὸς μετασήσαντος τ πατέρα Κρόνον ἀπ βασιλέως, ἢ τὸν τ θεῶν ἀρχὸν παραλαβόντος, γίγαντες οἱ γῆς παῖδες ἀγανακτήσαντες, ἐν Ταρτησσῷ πόλις ἐστιν αὖτη παρὰ τῷ ὠκεανῷ, μέγαν πατὰ Διὸς πόλεμον παρεσκεύαζον. Ζεὺς ἢ συναντήσας αὐτοῖς, καταγωνίζεται παύτας καὶ μετασήσας αὖτὸς ἐς Ερεβος, τῷ πατρὶ Κρόνῳ τὸν τότων βασιλέαν παραλείδωσιν. Οφίωνα ἢ τ λοιπὸν τ παύτων ὑποβρύχιον, κατηγονίσατο, ὅρος ἐπιθεὶς αὐτῷ τὸ ἀπ' αὖτ Οφιώνιον. ὑπβρίονος.] τ ἡλίᾳ, ἤτοι ὅτι Υπβριονός ἐστι ἢ Θάλας παῖς, ὡς Ησίοδος. ἐντεῦθεν γάρ, αὖτ παῖ ὠνυμικῶς Υπβριονίδην καλεῖ. ἢ ὑπβρίων ὁ ὑπβράνιος ἡμῶν ὢν ἢ περιπολῶν τ κόσμον. διὰ τότο γὰρ τὰ ὅλα συνέχεται. ἔνθα.] ὅπου. ἀλωμένη.] πλανωμένη. ἀλίγω.] λόγον ὀκ ἔχω. ὀ φροντίζω. πώτβρον.] καλεπώτβρον, δεινότβρον. ἀέκησιν.] ἄκησι. καὶ μὴ βουλομένοις. ἀσπασίη.] ἀσπασή, σύντασις. βρίλλιος.] πολυλιταύντος. ὀρθιβιννή.] σκοτεινή. δθι δὴ

Τίφθ' ὅτω τε τύνδον Αθηναίη τε, καὶ Ἥρη;
Οὐ μὰν θυμὸ κάμετόν γε μάχη ἐνὶ κυδιανείρη
Ὀλλῦσαι Τρῶας. τοῖσιν κότον ἄνδρα ἔθεσθε,
Πάντως οἷον ἐμόν γε μένος, καὶ χεῖρες ἄαπτοι,
Οὐκ ἄν με τρέψειαν ὅσοι θεοὶ εἰσ' ἐν Ὀλύμπῳ.
Σφωΐν δὲ πρὶν πῆμ' τρόμος ἔλαβε φαίδιμα γυῖα,
Πρὶν πόλεμόν τ' ἰδέειν, πολεμοῖό τε μέρμερα ἔργα.
Ἦλθε γὰρ ἐξερέων. τόθι καὶ τετελεσμένον ἔσται.
Οὐκ αὖ ἐφ' ὑμετέρῳ ὀχέων πλαγχθέντε κεραυνῷ,
Ἀψ δ' ὄλυμπον ἵκεσθον, ἵν' ἀθανάτων ἕδος ἐστί.
Ὡς ἔφαθ', αἷσ' ἐπέμυξαν, Αθηναίη τε, καὶ Ἥρη.
Πλησίαι ἄρ' ἥδην, πακὰ δὲ Τρώεσσι μεδ' ἐδην.
Ἤτοι Αθηναίη ἀκέων ἰῶ, ὅθι πιν ἔπεα,
Σκυζομένη Διΐ πατρὶ. χόλῳ δ' ἐμὶν ἄχριος ἦρε,
Ἥρη δ' ὀκ ἔχασε σῆθος χόλου, ἀλλὰ πρόσω ἰσα.

Αἰνότατε Κρονίδη, ποῖον τὸν μῆθον ἔφπες;
Εὖ νυ καὶ ἡμεῖς ἴσμεν ὅτι σθένος ὀκ ὐδιεικτόν.
Ἀλλ' ἔμπης, Δαναῶν ὀλοφυρόμεθ' ὠκυμορίᾳσιν,
Οἵπερ δὴ καὶ νῶν οἵτου ἀναπλήσαντες, ὄλωνται.
Ἀλλ' ἤτοι πολέμου μὲν ἀφεξόμεθ', εἰ σὺ κελεύεις.
Βουλὴν δ' Αργείοις ὑποθησόμεθ', ἥτις ὀνήσει,
Ὡς μὴ πάντες ὄλωνται, ὀδυσσαμένοιο θεοῖο.

Τήνδ' ἀπαμείβομενος, προσέφη Νεφεληγερέτα Ζεύς.
Θῆς δὴ καὶ μᾶλλον ὑπερμενέα Κρονίωνα
Ὄψεαι, αἲ κ' ἐθέλῃσθα, βοῶπις πότνια Ἥρη,
Ὀλλύντ' Αργείων στρατὸν ἀχμήτα ἀχμητάων,
Οὐ γὰρ πρὶν πολέμου ἀκροτάτου ἔσσεται ὄβριμος Ἕκτωρ,
Πρὶν ὦρθαι πόδα νηῶν ποδώκεα Πηλείωνα
Ἤματι τῷ, ὅτ' ἀν' οἱ μὲν ὐδὶ πρύμνησι μάχονται,
Στείνει ἐν ἀινοτάτῳ, περὶ Πατρόκλοιο θανόντος,
Ὡς γὰρ θέσφατόν ἐστι. σέθεν δ' ἐγὼ ὀκ ἀλεγίζω
Χωομένης, ὅσσ' εἶκε τὰ νέατα πείραθ' ἵκηαι
Γαίης, καὶ πόντοιο. ἵν' Ιαπετός τε, Κρόνος τε
Ἥμενοι, οὔτ' αὐγῆς ὑπερίονος ἠελίοιο
Τέρποντ', οὔτ' αὐέμοισι. βαθὺς δὲ τε τάρταρος ἀμφίς,
Οὐδ' ἴν γ' ἔβ ἀφίκοιο ἀλωμένη, ὅ σοι ἔγωγε
Σκυζομένης ἀλέγω, ἐπεὶ ὅ σέο κύντερον ἄλλο.

Ὡς φάτο, τὸν δ' ὅπ πρόσφη λοιγὸς Ἥρη,
Ἐν δ' ἔπεσ' ὠκεανῷ λαμπρὸς φάος ἠελίοιο,
Ἕλκον νύκτα μέλαιναν ἐπὶ ζείδωρον ἄρουραν,
Τρωσὶν μὲν ῥ' ἄεκασιν ἔδυ φάος, αὐτὰρ Αχαιοῖς
Ἀσπασίη πρόλιπος ἐπήλυθε νὺξ ἐρεβεννή.
Τρώων δ' αὖτ' ἀγορὴν ποιήσατο φαίδιμος Ἕκτωρ,
Νόσφι νεῶν ἀγαγὼν ποταμῷ ἐνὶ δινήεντι,
Ἔν καθαρῷ. ὄθι δὴ νεκύων διεφαίνετο χῶρος.
Ἐξίππων δ' ἀρβάντες ἐπὶ χθόνα, μῦθον ἄκουον,

Τὸν δ' Ἕκτωρ ἀγόρευε Διΐ Φίλος, ᾧ δ' ἄρα χειρὶ
Ἔγχος ἐχ ἐνδεκάπηχυ, πάροιθε δὲ λάμπετο δ' αὐτοῦ
Αἰχμὴ χαλκείη, πολὺ δὲ χρύσειος βέε πόρκυς,
Τῷ, οὗ ἐρεισάμενος, ἔπεα πτερόεντα προσηύδα,
Κέκλυτέ μοι Τρῶες, καὶ Δάρδανοι, ἠδ' ἐπίκουροι,
Νῦν ἐφάμην νῆάς τ' ὀλέσας, καὶ πάντας Ἀχαιοὺς,
Ἂψ ἀπονοστήσειν ποτὶ Ἴλιον ἠνεμόεσσαν,
Ἀλλὰ πρὶν κνέφας ἦλθε. τὸ νῦν ἐσάωσε μάλιστα
Ἀργείους, καὶ νῆας, ἀδῖ ῥηγμῖνι θαλάσσης.
Ἀλλ' ἤτοι νῦν μὴν πειθώμεθα νυκτὶ μελαίνῃ,
Δόρπα τ' ἐφοπλισώμεθ'. αὐτὰρ καλλίτριχας ἵππους
Λύσατ' ἀφ' ὀχέων, πρὰ δὲ σφίσι βάλετ' ἐδωδήν.
Ἐκ πόλιος δ' ἄξασθε βόας, καὶ ἴφια μῆλα
Καρπαλίμως. οἶνον δὲ μελίφρονα οἰνίζεσθε,
Σῖτόν τ' ἐκ μεγάρων, ἀδῖ δὲ ξύλα πολλὰ λέγεσθε,
Ὡς κεν παννύχιοι μέσφ' ἠῶς ἠερίγενείης,
Καίοντες πυρὰ πολλὰ, σέλας δ' εἰς οὐρανὸν ἵκῃ.
Μήπως καὶ νύκτα καρηκομόωντες Ἀχαιοὶ
Φεύγειν ὁρμήσονται ἐπ' εὐρέα νῶτα θαλάσσης,
Μὴ μάν ἄπρηκτόν γε νεῶν ἀδῖβάς γ' ἔκηλοι,
Ἀλλ' ὥς τις τούτων γε βέλος καὶ οἰκοθι πέσοι,
Βλήμενος ἢ ἰῷ, ἢ ἐγχεῖ ὀξυόεντι,
Νηὸς ἀδῖ θρώσκων, ἵνα τις συγέησι καὶ ἄλλος
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύλακρυν Ἄρηα.
Κήρυκες δ' ἀνὰ ἄστυ Διΐ Φίλοι ἀγγελόντων,
Παῖδας πρωθήβας, πολιοκροτάφους τε γέροντας,
Λέξασθε πρὸ τάφρου, θεοδμήτων ἀπὸ πύργων,
Οὐλύτρα δὲ γυναῖκες, ἣ μεγάροισιν ἑκάστη,
Πῦρ μέγα καίοντων, φυλακὴ δέ τις ἔμπεδος ἔστω,
Μὴ λόχος εἰσέλθησι πόλιν, λαοῦ ἀπεόντων,
Ὡδ' ἔστω Τρῶες μεγαλήτορες, ὡς ἀγορεύω.
Μῦθος δ' ὅς μὲν νῦν ὑγιὴς, εἰρυμένος ἔστω,
Τόνδ' ἦος Τρώεσσι μεθ' ἱπποδάμοις ἀγορεύσω,
Εὔχομαι ἐλπόμενος Διΐ τ', ἄλλοισίν τε θεοῖσιν,
Ἐξελάαν ἠθεόνδε κύνας κηριοσιφορήτους,
Οὓς κῆρες φορέουσι μελαινάων ὑπὸ νηῶν,
Ἀλλ' ἤτοι ὑπὸ νυκτὶ φυλάξομεν ἡμέας αὐτούς,
Τρωϊ δ' ὦ ποιοι σὺ τεύχεσι θωρηχθέντες,
Νηυσὶν ὑπὸ γλαφυρῇσιν ἐγείρομεν ὀξὺν Ἄρηα,
Εἴσομαι ἤνε μὲ ὁ Τυδέος κρατερὸς Διομήδης
Πρὸς νηῶν πρὸς τεῖχος ἐπώσεται, ἦε κεν ἐγὼ τόν,
Χαλκῷ δηώσας, ὦκα βροτόεντα φέρωμαι.
Αὔριον ἦν ἀρετὴν δηάσεται. εἰκὲ ἐμοῦ ἔγχος
Μείνῃ ἐπερχόμενον. ἀλλ' ὦ πρώτοισιν ὄΐω
Κείσεται ὀρθεὶς. πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι,
Ἠέλιόν τε ἰόντος ὀπ' αὔριον. ἄλγε' ἐγὼν ὧς

ὕθι δὴ νεκύων διεφαίνετο χῶρος.] ἐξωθεν δεῖ λαβεῖν τὴν ἀπὸ προθέσεως ἵν' ᾖ, ὅπερ παθαρὸς καὶ διαφανὴς ἢν ὁ τόπος ἀπὸ τῶν νεκρῶν. νόμευς.] διανυτίλιος. ἐφάμιλλ.] ἐλογισάμην. κνέφας.] σκότος. ἐφοπλισόμεθα.] ἑτοιμάσωμεν. ἐδωδήν.] φορβὴν. οἰνίζεσθε.] οἶνον ἀγοράζετε. λέγεσθε.] συλλέξατε, συναγάγετε. μέσφ' ἠῶς.] μέχρι δὲ ἡμέρας. ἠερογενέος.] ἤτοι τὸν ὄρθρον γεννώσης. ἢ ὑπὸ τῆς ὄρθρος γεννωμένης. σέλας.] πυρὸς λαμπηδόνα. ἵκῃ.] παραγένηται. διὰ νύκτα.] αὐτὸ τὸ διὰ νυκτός. μὴ μαὺ.] μὴ μὴ λήσωσιν ἡμᾶς γε.] αὖ-ν παποπαθείας, χωρὶς πόνου. βέλος.] νῦν τὸ βεβλημένον μέρος τὸ βαῦμα. πέσοι.] συνέχῃ, θεραπεύῃ. ἀγγελλόντων.] ἀγγελλέτωσαν. πρωθήβας.] πρώτως ἡβῶντας. νέους τοὺς ὄντας ἀπὸ δὲ ἀκμῆς ὁ ὅσιμ ἡλικίας. πολιοκροτάφους.] πεπολιωμένους. ἀπὸ μέρους. ἤτοι συνεπλεχή. θεοδμήτων.] ὑπὸ θεῶν ᾠκοδομημένων. καθότι Ποσειδῶν καὶ Ἀπόλλων ᾠκοδόμησαν αὐτούς. θηλυτέραι.] αἱ πρὸς τὰ ἀφροδίσια καταφερῶς τρέπεται ὡς πρὸς σύνηθεσιν τῆ ἀλόγων ζώων. τὰ δὲ χρὴ ἄλογα, ὡρισμένον ἔχει καιρὸν ἐν ᾧ μίγνυνται, αὗται δ' ἀπενεκῶς πλησιάζουσι. καιόντων.] αὐτὸ τὸ καίεσθαι. λόχος.] ἐνέδρα. ἔθνη κὴ λοχαγοὶ εἰ ταξίαρχοι. ἀπεόντων.] ἀπόντων. ὧδ' ἐγω.] ὅτως γενέσθω.

μῦθος δ' ὅς μὲν νῦν.] ὅτος μὲν λόγος. ἐλπόμενος.] ἐλπίδος. ἀγόμεθ'. κηριοσιφορητὸς.] τὸς ὑπὸ εἱμαρμένης ἠγμένος μοιροφορήτους, ἢ ὃς αἱ μοῖραι ἀποίσουσιν. ὑπὸ νυκτί.] διὰ δὲ νυκτὸς. ὑπ' ἠοῖοι.] ὑπὸ τὴν ἕω, ὑπὸ τὸν ὄρθρον. ἴσομαι.] γνώσομαι. δηώσας.] φονεύσας. διαείσεται.] γνωρίσει, διαγνώσεται. ὀτυγέος.] ῥωθέος. ἠελίου αὐίοντος ὄν αὔριον.] ἅμα τῷ τὸν ἥλιον αὐίσχειν αὔριον.

πειράσθη-

Εἶην ἀθάνατος, καὶ ἀγήρως ἤματα πάντα,
Τιοίμην δ' ὡς τίετ' Ἀθηναίη, καὶ Ἀπόλλων,
Ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισιν.
Ὡς Ἕκτωρ ἀγόρευ'. ὦδε δὲ Τρῶες καλάδησαν,
Οἵδ' ἵππους μὲν λῦσαν ὑπὸ ζυγὰ ἱδρώοντας.
Δῆσαν δ' ἱμάντεσσι πρὸ ἅρμασιν οἷσιν ἕκαστος.
Ἐκ πόλιος δ' ἄξαντο βόας, καὶ ἴρια μῆλα
Καρπαλίμως. οἶνον δὲ μελίφρονα οἰνίζοντο,
Σῖτόν τ' ἐκ μεγάρων, ὦμοὶ δὲ ξύλα πολλὰ λέγοντο
Κνίσῃ δ' ἐκ πεδίου ἄνεμοι φέρον εὐρυόπα εἴσω.
Οἱ δέ, μέγα φρονέοντες, ὅλῃ πολεμοιο γεφύρῃ
Εἵατο παννύχιοι. πυρὰ δὲ σφισι κάετο πολλά.
Ὡς δ' ὅτ' ἐν οὐρανῷ ἄστρα φαεινὴν ἀμφὶ σελήνην
Φαίνετ' ἀριπρεπέα. ὅτε τ' ἔπλετο νήνεμος αἰθήρ,
Ἔκτ' ἔφανον πᾶσαι σκοπιαὶ, καὶ πρώονες ἄκροι,
Καὶ νάπαι, ἐρανόθεν δ' ἄρ ὑπερράγη ἄσπετος αἰθήρ,
Πάντα δ' ἐτ' εἰδέται ἄστρα, γεγήθε δέ τε φρένα ποιμήν.
Τόσσα μεσηγὺ νεῶν ἠδὲ Ξάνθοιο ῥοάων,
Τρώων καιόντων, πυρὰ φαίνετο ἰλιόθι πρό.
Χίλι' ἄρ' ἐν πεδίῳ πυρὰ κάετο. πὰρ δὲ ἑκάστῳ
Εἵατο πεντήκοντα σέλα πυρὸς αἰθομένοιο.
Ἵπποι δὲ κρῖ λευκὸν ἐρεπτόμενοι, καὶ ὀλύρας,
Ἑσταότες παρ' ὄχεσφιν, ἐΰβρονον ἠδὲ μίμνον.

ΙΛΙΑΔΟΣ

σελάδησαν.] ἐβόησαν μετὰ θορύβου. ἴρια μῆλα.] σύτραφῆ, μεταλαμβάνεται ὁ τρόπος. ἕλκτο.] ἐκαθέλκοντο.

φαεινὴν ἀμφὶ σελήνην.] τὴν φύσει λαμπρὰν. ἔστω ἡ ἀκαθόλου δὲ σελήνης ἐπὶ βεπιδὸν ἐστὶ, καὶ μὴ πανσέληνος ἦ.

ἀριπρεπέα.] καλὸν σύμπεπῆ. διάδηλα. ἔπλετο.] ἐγένετο, ἰῶν. νήνεμος.] χωρὶς ἀνέμου. σκοπιαὶ.] σκοποὶ, ὑψηλοὶ τόποι. πρώονες.] οἱ προεξοχικότες τῶν ὀρῶν τόποι, καὶ πρὸ βεβλημένοι παρὰ τὸ ἐξέχειν. ἔφανον.] φάνεντες. γήγηθε ἡ φρένα ποιμένος. ποιμένα ἔφην αὐτὶ τοῦ βουκόλος. διὰ νυκτὸς γὰρ οἱ βόες νέμονται. κατάκρησις ὁ τρόπος. μεσηγύ.] ἀναμέσον.

ἰλιόθι πρό.] πρὸ τῆς Ἰλίου. πὰρ δὲ ἑκάστῳ ἕατο πεντήκοντα σέλα πυρὸς αἰθομένοιο.] τῷ ἑκάστῳ. συναπτέον τὸ σέλα ἐν· ἢ παρ' ἑκάστῳ σέλαι καὶ φωτὶ δὲ πυρὸς, ἵνα τ' ἦσι παρ' ἑκάστῳ πυρᾷ. ἐκ τούτων δ' ἄν τις παραμάθοι τὸ πλῆθος τῶν Τρώων. ὅτι τ'. μυριάδες ἦσαν οἱ πολῖται. ἕατο.] ἐκαθέζετο. σέλα.] φωτὶ, πυρᾷ. ὅθεν καὶ ὁ τὸ φῶς ἡμῖν παρέχουσα, σελήνη εἴρηται. πρὶ.] πριθάς. ἀποκοπὴ ὁ τρόπος. ὀλύρας.] ἔδεσμα σπέρματος παραπλησίως πεμβῇ. εὐβρονέων.] καλὸν βρόνον ἔχουσα. βασιλικὸν ἢ καλὸν ἅρμα μεταληπτικῶς. μίμνον.] ἔμενον.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ι ΤΟΥ
ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀγαμέμνων συμβουλεύσας τοῖς Ἕλλησι φεύγειν, ἵστανται πρὸ τῶν ἐναντίων, ἀποφαινόμενοι γνώμην Διομήδης μὲν Νέστωρ. συμβουλεύσαντος δὲ Νέστορος, πρὸς Ἀχιλλέα πέμπονται πρέσβεις, μὲν διαλεξόμενοι αὐτῷ περὶ αὐτοῖς Ἀχιλλεύς. οἱ δὲ ἀπαγγέλλουσι, καὶ μεταταῦτα εἰς ὕπνον τρέπονται.

ΚΑΙ ΑΛΛΗ.

Ἐπαυλισαμένων τῶν πολεμίων πρὸ τῆς πόλεως διὰ τὴν κατὰ τὸν πόλεμον συμμορίαν παρὰ τῷ ναυσάθμῳ. Ἀγαμέμνων ἀπελπισθεὶς τῆς σωτηρίας, ἔπὶ δὲ ἐπιπλοίας ἀποφαινόμενος γνώμην, ἀποφεύγειν ἐπιβαίνοντας τῶν νεῶν πειθοῖ τοὺς Ἕλληνας. Διομήδης δὲ αὐτιπόντος, Νέστωρ παραυτίκα ἀμείβεται αὐτὸν, προστίθησι δὲ τὰ λήποντα αὐτοῖς λόγοις. φύλακας πείθουσιν ὧδε τῆς τάφρου ἐπιμεῖναι. καὶ τοὺς ἀρίστους ἀθροίσαντα βουλεύεσθαι μετ' αὐτοῦ περὶ ἐπειγόντων. τοῦτο δὲ τόποις ὁ βασιλεὺς. καὶ τοὺς ἀρίστους ἐστιᾷ. ἐν οἷς πάλιν Νέστωρ Ἀγαμέμνονι συμβουλεύει παλλίστων γίγνεσθαι. δὲ μὲν πρὸς τὸν Ἀχιλλέα πείθουσιν αὐτὸν ὀργῆς λαθέσθαι. πρὸς δὲ τὰ ἐπείγοντα παρὸν ἀμύνασθαι. καὶ πρεσβείαν ὡς τὸν Πηλέως ἀποστέλλει. δὲ βασιλέως καὶ δῶρα πολλὰ ὑποσχομένης δώσειν, καὶ ἐπιτιμῆσαι ἀξιώσαντος γενέσθαι, παραγίγνεται πρὸς αὐτὸν πρέσβεις, ὅτε ἱδρυμένου καὶ ὁ τελαμῶνος, καὶ πρὸς τούτοις φοίνιξ. δὲ πρεσβέων ἐλθόντων καὶ τῶν δώρων πεμπομένων. καὶ τὰ κατὰ τοὺς Ἕλληνας μνησθέντων. καὶ τῶν ἐπειγόντων παρόντων. ἀτυχοῦντος ὁ Ἀχιλλεὺς, καὶ ὁ δ' ὅλως ἐνδιδοὺς πρὸς τὴν ἀποδοχὴν τῶν Ἑλληνικῶν πραγμάτων σύρεται. ἀλλὰ μνησικακῶν μὲν τῷ Ἀγαμέμνονι. τὸ δὲ ὥρων καταφρονῶν, καὶ δι' συγγενείας δὲ βασιλέως ὑποβρυχίων, καὶ μετὰ τοῦτο φοίνιξ πείθειν αὐτὸν πειρᾶται. καὶ ἀναιρεῖ τὴν παρεῖσαν τῶν Ἑλλήνων τύχην, ὡς ἐς ὅλεθρον αὐτὸν ὑπάξων. καὶ δι' ὅπὶ τὴν πρώτην ἱλιπίαν ὑπομνήσει προφῆς. καὶ ὅτι οὐχρὴ ποιεῖται μετρεῖ πρίβεσθαι, παραδείγματι τῷ λιτὰς παλλακίδα. δι' ὧν ἔπειτα, ἀνίστησι. καὶ ὡς πρὸς αὐάγκην βοήσας χωρὶς τιμῆς μεταγνώσεσθαι, τὴν Μελεάγρου μάχην. καὶ Αἰτωλῶν διαγώνισμα. ὅτε ἡ φοῖνιξ πρισβευτὴς συντυχής. καὶ γὰρ καὶ αὐτὸς ἐπίσης τοῖς ἄλλοις ἀποτυγχάνει. ὅτι ἡ συγγενὺς αὐτὸν Αἴας ἐπιψηφίσαντα καὶ ἐπεσθαι καὶ λειπόμενον. καὶ παντὶ τρόπῳ πεῖσαι πειρώμενον, ἀλλὰ φοίνικα μὲν παρ' ἑαυτῷ κατέχει Ἀχιλλεύς. Ὀδυσσεὺς δὲ σὺν Αἴαντι τὰ πρὸς τὸν Ἀχιλλέως ἀπεσταλμένοι τοῖς Ἕλλησιν. ἐφ' οἷς Διομήδης κατάπληκτος μὲν Ἀχιλλεὺς, ὡς δ' ἀλόντως ἀμύνων ὀργῇ σχολάζοντος. τὸν δὲ ἀγῶνα ἐπὶ τὴν μάχην πρεσβεύεται.

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ι ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΝ.

Υλακὰς ἔχον.] ἐφύλασσων. καλῶς ὁ ἄπιξ. οἱ μὲν γὰρ Τρῶες τὰς φυλακὰς ἔχον. ἵνα μὴ φύγωσιν οἱ Ἕλληνες διὰ νυκτός. οἱ δὲ Ἕλληνες ἔχοντο ὑπὸ τ Δίους. θεσπεσίη.] θέα, πολλή. ἰλίῳ μὲν διὰ τὸν Τρῶας, ἰλίους ὁ διὰ τὸν πεσόντα πεδαυνόν. ἔχε.] ἔχων, ἐπράτει. φύζα.] ἡ μετὰ βίας φυγή. κρυόεντος.] φρικ τ φόβου. σημαίνει γὰρ τὸν φοβούμενον συγκρύειν τὰς ὁδόντας. ἐτάρῳ.] συνόργε, φίλη. σημειωτέον δὲ ὅτι πῶς φυγὼν ὁ ποιητὴς τ φόβου ἔρχεται ἐτάρῳ. ἀτλήτῳ.] ἀνυπομονήτῳ, ἀφορήτῳ. βεβολήατο.] πῶς ψυχῷ τετρωμένοι ἦσαν ἐλυπῶντο. ὡς δ' ἄνεμοι λύο.] ἱκανῶς δύο ἀνέμους παρέλαβε ταράσσοντας τὸ πέλαγος. ἵνα ἡ δύο πάθη ψυχῆς παράστηση, ὥσπερ φησίν. ζέσασι λύο ἄνεμοι ταράσσει πῶς θάλασσαν ἐν βυθῷ. ὅτω καὶ οἱ Ἕλληνες ἐταράσσοντο ὑπὸ τ λύο χαλεπωτάτων παθῶν, λύπης τε καὶ φόβου. ὀρίνετον.] ταράσσουσι, κινοῦσι. Βορέης καὶ Ζέφυρος τότε ὀρῆκθεν ἄντον.] πῶς ἀμφοτέρους ἐν Θράκης φησὶ πνεῖν. τ μὲν Βορέου ἐξ Ἄρκτου, τ δὲ Ζεφύρου ἐν Δύσεως πνέοντος. ῥητέον ὅμ ὅτι ὑ τ Θρακῶν γῆ, ἐπιπολὺ λίβυκε. καὶ συμπαθεῖ δὲ ἡ κατ' αὐτὴν θέα μέχρι τῆ λύσεως. ἀφ' ἧς ἂν τέρα ὅμ μέρος τῶν ἀνέμων ἔχει ἐπάτερον. οἱ δὲ φασιν. ὅτι συλλήπτικῶς τὸ Θρᾴκης, μόνος γὰρ ὁ Βορέας ἀπὸ Θράκης πνεῖ. τότε ἐρίννθεν ἄντον.] οἵ τινες ἀπὸ Θράκης πνέουσιν. ἄμυδις.] ὁμοῦ, ἀθρόως. κελαινὸν.] μέλαν. ἐξ ὃ φρικτὸν. κορθύεται.] κορυφοῦται, αὔξεται, ἐνιοι δ' ἀπὸ τ σωρεύεσθαι ὕδατα ἦσαν. πέρσας γὰρ ὑ σωρός. παρὲξ ἅλα.] ἔξω παρὰ τὸν θάλασσαν. φῦκος.] τὸ χερσαῖος τῆ θαλάσσης. ἀπόβλημα. εἰ δ' φυκία φασὶ βοτάνην πῶς ἐν τῷ βυθῷ τῆ θαλάσσης γινομένην. ἔχενεν.] ἔχωθαλον. ἐλαίβετο.] ἐταράσσετο, ἀνεσπᾶτο. ἄχεϊ μεγάλῳ.] μεγάλη λύπη. βεβλημένος ἦτορ.] ὥσπερ πῶς ψυχῶ βεβλημένος. καὶ ἐκπεπληγμένος. φοίτα.] παραγίνετο, περιέρχεται. κλήδην.] καλοῦντας, κηρύσσοντας. μὴ δ' βοᾶν.] μὴ δ' βοῶντας. νυκτὸς γὰρ ὄσης καὶ πλησίον ἦντον τ πολεμίων, ἐβόων τας. καλεῖ. ἵνα μή τις παραχὼ γένηται. πονέετο.] ἐνήργει. μελαίνυδρος.] πολύυδρος. φύσει γὰρ μέλαν τὸ ὕδωρ. ἀλλὰ λαμπρύνεται ταῖς ἠλιακαῖς αὐγαῖς, ἢ βαθέα. τ γὰρ μελάνεσθαι αἴτιον τὸ βάθος. αἰγίλιπος.] ὑψιλῆς. ἀὶ δὲ καὶ αὖξ ἀπολίπει διὰ τὸ ἄγαν ὑψηλὸν καὶ ἀνόβατον. ἐν γὰρ τοῖς κρημνοῖς αἱ αἶγες ὡς ἐπίπαν νέμονται. ἡ δὲ παραβολὴ πρός τι τὸ πλῆθος

ΙΛΙΔΟΣ Ι ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἐξείσι δ' Ἀχιλῆος ἀπειρέσιον ὀδύνην.

Σοὶ μὲν Τρῶες φυλακὰς ἔχον. αὐτὰρ Ἀχαιοὺς
Θεσπεσίη ἔχε φύζα, φόβος δὲ κρυόεντας ἑταίρους.
Πρῶθεί δ' ἀτλήτῳ βεβολήατο θώρηκες ἀνδρῶν
Ὡς δ' ἄνεμοι δύο πόντον ἐρεμνὸν ἰχθυόεντα, (εἰσοι.
Βορέης, καὶ Ζέφυρος, τώ, τε θρῄκηθεν ἄητον
Ἐλθόντ' ἐξαπίνης. ἄμυδις δέ τε κῦμα κελαινὸν
τ γήρως ὀδόντων. ἐπὶ τῷ τόρματι. αἰῶ-
νος.] βίᾳ. ζωῆς. ἀμορβῆς.] στορεσῆς. ἀ-
φαιρεθῆς. ἔτι φρονέοντα.] ἔτι σωφρο-
νοῦντα περὶ ἐπιστῆναί σοι τοὺς πολε-
μίους. ἴσχεν ἕως τ φρενῶν ἐμὲ κύριον
ἐπιλόντα.] ἐκασάμενον. ἐλκηθάσας
τε δύγατρας.] ἀντὶ τ αἰχμαλωτιδέ-
σας. πορευόμενος.] πορθυμένους. βαλ-
λόμενα ποτὶ γαίῃ.] προσφυόμενα τῇ
γῇ. νυούς.] νύμφας. θύματον.] τε-
λευταῖον. ἰσχατον. πρώτῃσι θύρῃσι.]
ταῖς πρώταις θύραις. ταῖς προαυλίοις
ὠμηστάς.] ὠμοφάγους. ἐρύσσιν] ἑλκύσ-
σει. τύψας.] ἐκ χειρὸς πλήξας. ῥεθέων.
τ σώματος μελῶν. ὅτι κατὰ παν-
τὸς μέλους τὸ ζωτικὸν καὶ ψυχικόν ἐστι
ῥεῦμα ἢ τὰ ζῶντα μέλη. διὰ ὧν ῥεόμεν
τι. Αἰολεῖς ἢ τὸ προσωπον. καὶ ῥεθομα-
λίδας τὰς εὐπροσώπους. τραπεζῆας.]
τοὺς ἐν τραπέζῃ τρεφομένους. πυλαω-
ρούς.] πυλορούς. φύλακας ἀλύσσοντας.] ὑποπλησμονῆς ἀλύοντες. οἷον ἐν
ἄλῃ ὄντες ἀυσφοροῦντες. οἱ ἢ ἔπιον ἄ-
γαν λυτῶντες. κείσονται ἐν προθύροι-
σιν.] κείσονται ἐν τοῖς προθύροις. πό-
λιον.] ἢ τὸ πεπολιωμένον. ἢ τὸ ἐντι-
μον καὶ ἀιδοῦς ἄξιον τ σώματος.
αἰσχύνωσι.] καταισχύνωσιν. ἐνυβρί-
σωσιν. οἰκτιστον.] ἐλεεινόν. οἰκτρὸν. δει-
λοῖσι.] ἀθλίοις. ἀθλίοις.

πόλεμον αὐτεμένη.] γυμνόσας τ' πόλεμον. λέγει ἢ τὸ κατασῆσαι μέρος.

αὐτάχειν.] αὐτεινήν. αἰδέο.] αἰδῆ, ἐνρύοπα. λαθικηδέα μαζόν.] τ' λήθην ἐμποιοῦντα τοῖς παισὶ τ' κακῶν παύτων. ἄμυνε.] ἀμύνω. δήιον.] πολεμικόν, ἐχθρόν. θάλος.] βλάστημα, φυτόν. παῦ τὸ νέον ἀπὸ τ' θάλλειν τῇ αὐξήσει. πολύλωρος.] πολλὰ λωρεμένη ἀγαθά, ἢ ἡ μετὰ πολλῶν δώρων ἡκὶ ἐδνων γιγαμμένη. χρῇ.] σχισμῇ. λέγει ἢ τῇ τ' ἁράποντος κατὰ δύσει. ὀρεσσίφοιτος.] ἐν ὄρει διαιτώμενος. ὄρειος. ἢ ἄγριος. βιβρωκώς.] φαγὼν τὰ κακωτικὰ ἡκὶ ἰὸς ποιητικὰ φάρμακα. λέγει ἢ μύρμηκας ἢ πανθαίρας.

δίεθρον.] βλέπει. διὰ γὰρ τ' τὸ ἡκὶ ἁράκων ἔρηται διὰ τὸ ὀξέως διοδεύειν. ἑλισσόμενος.] συστρεφόμενος, οἰλόμενος. πρὸ χοντι.] προέχοντι. ἐλεγχίμφ.] ὄνειδος. ὥριτο.] ὥρμησεν. ἀταθαλίῃσι.] ἁμαρτίαις, βλάβαις. ἔπῃσι.] τοῖς ἐμοῖ ἔπεσι.

εὐκλειῶς.] ἐνδόξως. κίκυθι.] κέρυφον ἐν αὐτῇ ἔχει. γοργόσιον ὄρνεον.] τ' ὠδῆ τ' ἐνγλίμων ὄρνεων ὃν ἐν τοῖς ἐντίμοις βλῶ ὁμόσαι. ἴκωμαι.] νεῦσω ἀντὶ τ' ἱκετεύσω.

ἀλλιανοῦ.]

Τίλλων ἐκ κεφαλῆς, ὀδ' Ἕκτορι θυμὸν ἔπειθε.
Μήτηρ δ' ὦῳ ἐτόρωθεν ὀδύρετο δακρυχέουσα
Κόλπον ὠϊεμένη, ἑτέρῃφι δὲ μαζὸν ἀνέσχε
Καί μιν δακρυχέουσ' ἔπεα πτερόεντα προσηύδα.
Ἕκτορ τέκνον ἐμοὶ τάδε τ' ἄλγιστε, καὶ μ' ἐλέησον
Αὐτῷ, εἰ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον,
Τῶν μνῆσαι φίλον τέκνον ἄμυνε δὲ δῆϊον ἄνδρα.
Τείχεος ἔντοσθε στὰς, μὴ δὲ προμὸς ἴσταο τούτῳ
Σχέτλιος, εἴπερ γάρ σε κατακτάνῃ, οὐδέ τ' ἔγωγε
Κλαύσομαι ὠ λεχέεσσι φίλον θάλον, οὐ τέκον αὐτή,
Οὐδ' ἄλοχος πολύλωρος, ἄνδυβε δ' ἐς μέγα νῶϊν
Ἀργείων πὸρὰ νηυσί, κύνες ταχέες κατέδονται.
Ὡς τώγε κλαίοντε προσαυδήτην φίλον υἱόν,
Πολλὰ λισσομένω, ὀδ' Ἕκτορι θυμὸν ἔπειθον,
Ἀλλ' ὅγε μᾶλλ' Ἀχιλῆα πελώριον ἄσσον ἰόντα.
Ὡς δὲ δράκων ὀδὸν χειῇ ὀρέστερος ἄνδρα μένησι
Βεβρωκὼς κακὰ φάρμακ', ἐδὺ δ' ἔτε μιν χόλος αἰνός,
Σμερδαλέον δὲ δι' ἔδρηκεν ἑλισσόμενος πόδι χειῇ,
Ὡς Ἕκτωρ ἄσβετον ἔχων μένος οὐκ ἀνεχώρει,
Πύργῳ ὠδὶ πρόσχοντι φαεινῷ ἀκὶς ἐρείσας.
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν,
Ὤμοι ἐγὼν, εἰ μέν κε πύλας καὶ τείχεα δύω,
Πρῶτος ἐλεγχείην ἀναθήσει,
Ὅς μ' ἐκέλευε Τρωσὶ πόλιν ἠγήσασθαι,
Νύχθ' ὑπὸ τήνδ' ὀλέσω, ὅτε τ' ὦρτο δῖος Ἀχιλλεύς.
Ἀλλ' ἐγὼ ὁ πεθόμην, ἦ τ' ἂν πολυκερδέστερον ἦεν.
Νῦν δ' ἐπεὶ ὦλεσα λαὸν ἀτασθαλίῃσιν ἐμῇσιν,
Αἰδέομαι Τρῶας καὶ Τρωϊάδας ἑλκεσιπέπλους,
Μή ποτε τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο,
Ἕκτωρ, ᾗφι βίηφι πεποιθὼς ὤλεσε λαόν.
Ὡς ἐρέουσιν, ἐμοὶ δὲ τότ' ἂν πολυκερδέστερον ἦεν,
Ἄντην, ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,
Ἠὲ κεῶν αὐτῶν ὀλέσθαι εὐκλειῶς πρὸ πόληος,
Εἰσέκεν ἀσπίδα καταθέωμαι ὀμφαλόεσσαν,
Καὶ κόρυθα βριαρὴν, δόρυ δὲ πρὸς τείχος ἐρείσας
Αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος αὐτίος ἔλθω,
Καί οἱ ὑποσχόμενος Ἑλένην καὶ κτήματ' ἅμ' αὐτῇ,
Πάντα μάλ' ὅσσά τ' Ἀλέξανδρος νοίλιης ἐνὶ νηυσὶν
Ἤγαγε Τροίηνδ', ἥτ' ἔπλετο νείκεος ἀρχὴ
Δωσέμεν Ἀτρεΐδῃσιν ἄγειν, ἅματ' ἀμφὶς Ἀχαιοῖς
Ἄλλ' ἀγλάσσασθαι, ὅσα τε πτόλις ἥδε κέκευθε.
Τρωσὶν δ' αὖ μετόπισθε γερέσιον ὅρκον ἕλωμαι
Μήτι κατακρύψειν ἀλλ' ἄνδιχα πάντα δάσασθαι,
Κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἔέργει,
Ἀλλὰ τίν μοι ταῦτα φίλος διελέξατο θυμός,
Μή μιν ἐγὼ μὲν ἴκωμαι ἰὼν, ὁ δέ μ' οὐκ ἐλέησε,

οὐδ' ἐπ

Οὐδέ τι μ' ὤιδ' ἔσεται κτενέει δέ με γυμνὸν ἐόντα,
Αὔτως ὥς τε γυναῖκα, ἐπεὶ κάκ' ἔργε' ὀΐδω.
Οὐ μὲν γάρ πως νῶϊ ἔσιν ἀρηΐφιλος, ὅδ' ἀκὴ πέτρης
Τῷ ὁαριζέμεναί ἄ τε παρθένος ἠίθεός τε,
Παρθένος ἠίθεός τ' ὁαρίζετον ἀλλήλοιϊν,
Βέλτερον αὖτ' ἐριδι ξυνελαυνέμεν ὄφρα τάχιστα
Εἴδομεν, ὁππότερῳ κεν ὀλύμπιος εὐχος ὀρέξῃ.
Ὣς ὥρμαινε μνώων, ὁ δὲ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεύς,
Ἶσος φυσαλίῳ κορυθάϊκι πωλεμιστῇ,
Σείων Πηλιάδα μελίην ἐπὶ δεξιὸν ὦμον,
Δεινήν, ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ
Ἢ πυρὸς ἀιθομένοιο, ἢ ἠελίου ἀνιόντος.
Ἕκτορα δ' ὡς ἐνόησεν ἔλε τρόμος, οὐδ' ἄρ' ἔτ' ἔτλη
Αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς,
Πηλείδης δ' ἐπόρουσε ποσὶ κραιπνοῖσι πεποιθώς,
Ἠΰτε κίρκος ὄρεσφιν ἐλαφρότατος πετεηνῶν,
Ῥηϊδίως οἰμήσε μετὰ τρήρωνα πέλειαν,
Ἣ δὲ πάρος μὲν ὕπαιθα φοβεῖτο, ὃ δ' ἐγγύθεν ὀξὺ λεληκὼς,
Ταρφέ' ἐπαΐσσων, ἐλέειν τέ ἑ θυμὸς ἀνώγει.
Ὣς ἄρ' ὅγ' ἐμμεμαὼς ἰθὺς πέτετο, πρέσε δ' Ἕκτωρ,
Τεῖχος ὑπὸ Τρώων, λαιψηρὰ δὲ γούνατ' ὠρώρει.
Οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα,
Τείχεος ἀιὲν ὑπὲρ κατ' ἀμαξιτὸν εἰσεύοντο,
Κρουνὼ δ' ἵκανον καλλιρρόω, ἔνθα δὲ πηγαὶ
Δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
Ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
Γίνεται ἐκ αὐτῆς ὡσεὶ πυρὸς ἀιθομένοιο.
Ἡ δ' ἑτέρη θερεῖ πωρέει εἰκυῖα χαλάζῃ.
Ἠ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ,
Ἐνθά δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι
Καλοὶ λαΐνεοι ὅθι εἵματα σιγαλόεντα
Πλύνεσκον Τρώων ἄλοχοι καλαί τε θύγατρες,
Τοπρίν ἐπ' εἰρήνης, πρίν ἐλθεῖν οἷας Ἀχαιῶν.
Τῇ ῥα πρὸ ἁμαμήτην φεύγων, ὁ δ' ὄπιθε δίωκεν,
Πρόδε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δὲ μιν μέγ' ἀμείνων
Καρπαλίμως, ἐπεὶ οὐχ ἱερήϊον οὐδὲ βοείην
Ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίνεται ἀνδρῶν.
Ἀλλὰ πόδ' ἵππων θοῶν Ἕκτορ ἵπποδάμοιο.
Ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τρίματα μώνυχες ἵπποι,
Ῥίμφα μάλα τρωχῶσι, τὸ δὲ μέγα κεῖται ἄεθλον
Ἢ τρίπος ἠὲ γυνὴ ἀνδρὸς κατατεθνειῶτος,
Ὧς τὼ τρὶς περὶ ἄστυ Πριάμοιο πόλιν διζήσθην.
Καρπαλίμοισι πόδεσσι, θεοὶ δὲ τε πάντες ὁρῶντο
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Ὤ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
Ὀφθαλμοῖσιν ὁρῶμαι, ἐμὸν δ' ὀλοφύρεται ἦτορ,

Ἕκτορος,

ἀλίσκεται.] προσθίξεται. ὡς ἰκέτην. εἰ γὰρ ἱκέται ἀθλοῖσι. οὐ μὲν πως νῦν ἔσιν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης τῷ ὁαριζόμενοι.] οὐκ ἔστι φησὶν ἀντικρυς Ἀχιλλέως μύθους διηγεῖσθαι ὁποίους ἂν παρθένοι καὶ ἠίθεοι. οἱ γὰρ παλαιοὶ τὰ ἐκτιθέμενα βρέφη παρὰ δρυσὶ ἢ πέτραις εὑρίσκοντες, ἐνόμιζον ἐκ τούτων γεγενῆσθαι. ἐκ τοιούτ' ἂν ἐγένετο ἡ ὑπόληψις. οἱ γὰρ παλαιοὶ νομαδικῷ ἐχρῶντο βίῳ, οἰκίας μηδέπω πεκτημένοι. αἱ οὖν γυναῖκες τίκτουσαι ἐν τοῖς ὄρεσιν ὑπὸ τὰ ποιλώματα τ' πετρῶν καὶ δρυῶν ἀνίσταντο, εὑρίσκοντες δέ τινες ἐνόμιζον ἐκεῖθεν γεγενῆσθαι. ἡ ἱστορία παρὰ Διδύμῳ. ὁαριζόμεναι.] γυναικώδεις προσδιαλέγεσθαι λόγους ὅταν γὰρ αἱ γυναῖκες ἡδέως.] ἀκμαῖος νέος. ξυνελαυνέμεν.] συμβάλλειν ἐλόμεν.] μάθωμεν. κορυθάϊκι.] πολεμικῷ. κινοῦνται τὸν πρόκροτον φαλάρων καὶ παλάξεως ἵνα καὶ φόβος τ' ἐναντίων σίμωσιν.] ὥρμησε. πίλεται.] πρέσε γάρ. φοβεῖται δέ.] φεύγει δέ. λελακὼς. κεκραγώς. νῦν δ' ἔχον διὰ δ' πτήσεως ἀποτελῶν. ἐνεμόεντα.] καταπνέόμενα. ὑψηλά. τὰ γὰρ ὑψηλότερα μᾶλλον καταφύσᾶται τ' ποίων. ἀμαξιτόν.] ἀμαξήλατον ὁλόν. ἀεθλοφόροι ἀγωνιστάι. ἀθλητάι. ἴσασι νόντες.] ὧρμοιν ἀναισσοῦσι.] ἀνορμῶσι. κρούνοι.] κυρίως μὲν αἱ ἀρχαὶ τ' ῥευμάτων. νῦν δ' οἱ τόποι ὅπου πλύνουσι. λαΐνοι.] λίθινοι. ἐρρίνεον.] ἐρρίπτουν ταῦρον. βοάμην.] βύρσαν. ἔφιπτον.] ἐλίσσειν. ἀρνύσθην.] ὑπὲρ ἀγῶνος ἐσπούδαζον λαβεῖν. ἄεθλια.] ἀγωνίσματα. τροχῶσι.] τρέχουσι. πρισὶ λιν βύτην.] κύκλωσαν. πρὸς ἦλθον. τέρματα.] τέλη. παμπῦρας. πόλεμ

Ἕκτορ Θ, ὅς μοι πολλὰ βοῇ ὧλ μηρί' ἔκηεν,
Ἴδης γὰρ κορυφῇσι πολυπίδακι, ἄλλοτε δ' αὖτε
Ἐν πόλει ἀκροτάτῃ, νῦν αὖ τέ ἑ δῖος Ἀχιλλεὺς,
Ἀσυ πόλι περάμοιο ποσὶν ταχέεσσι διώκει.
Ἀλλ' ἄγετε φράζεσθε θεοὶ κἀμμιτάσασθε,
Ἠέμιν ἐκ θανάτοιο σαώσομεν, ἦέμιν ἤδη
Πηλείδῃ Ἀχιλῆϊ δαμάσσομεν ἐσθλὸν ἐόντα.

Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη.
Ὦ πάτερ ἀργικέραυνε κελαινεφὲς οἷον ἔειπες.
Ἀνδρα θνητὸν ἐόντα πάλαι πεπρωμένον ἄισῃ,
Ἀψ ἐθέλεις θανάτοιο δυσηχέϊ δεσαναλῦσαι;
Ἔρδε, πάτερ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.

Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς
Θάρσει τρίτογύεια φίλον τέκος ἦ νύ τοι θυμῷ
Πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι.
Ἔρξον ὅπῃ δή τοι νόος ἔπλετο, μὴ δέ τ' ἐρώει,
Ὣς εἰπὼν, ὄτρυνε πάρος μεμαῶϊαν Ἀθήνην,
Βῆ δὲ κατ' ὀλύμποιο καρήνων αἰξασα,
Ἕκτορα δ' ἄσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεὺς,
Ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο διήκῃ
Ὀρσασ' ἐξ εὐνῆς, διά τ' ἄγκεα κἀδιὰ βήσας,
Τὸν δ' εἰ περ τε λάθῃσι κατακτάμενος ὑπὸ θάμνῳ
Ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον ὄφρά κε εὕρῃ,
Ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα.
Ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων
Ἀντίον αἶξασθαι ἐϋδμήτους ὑπὸ πύργους,
Εἴποτε οἱ καθύπερθεν ἐλάλκοιεν βελέεσσι,
Τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε πεδάσας
Πρὸς πεδίον γ', αὐτὸς δὲ ποτὶ πτόλιος πέτετ' αἰεί,
Ὡς δ' ὅ γ' ὀνείρῳ οὐ διώκτου φεύγοντα διώκειν
Οὔτ' ἄρ ὁ τὸν διώκτα δύνατο φεύγειν, οὔθ' ὁ διώκειν,
Ὣς ὁ τὸν οὐ δύνατο μάρψαι ποσὶν οὐδ' ὃς ἀλύξαι,
Πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο
Εἰ μὴ οἱ τύματόν τε, καὶ ὕστατον ἤντετ' Ἀπόλλων
Εγγύθεν ὅς οἱ ἐπῴρσε μένος καὶ φαιδιμα γυῖα.
Λαοῖσιν δ' ἀνέγνευε καρήατι δῖος Ἀχιλλεὺς,
Οὐδ' εἴα ἰεμένοισι βαλεῖν πικρὰ βέλεμνα
Μή τις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι,
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπῆν κρατὸς ἀφίκοντο,
Καὶ τότε δὴ χρύσεια πατὴρ ἐπιτείνετο πάλαντα.
Ἐν δ' ἑτίθει δύο κῆρε τανηλεγέϊ θανάτοιο,
Τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο.
Ἕλκε δὲ μέσσα λαβὼν, ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ,
Ὤιχετο δ' εἰς Ἀίδαο, λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων
Πηλείωνα δ' ἶκανε θεὰ γλαυκῶπις Ἀθήνη.
Ἀγχοῦ δ' ἱσταμένη, ἔπεα πτερόεντα προσηύδα.

Νῦν

πόλει ἀκροτάτῃ.] ἀκροπόλει. ἀνιχνεύων.] διζήσιος ἀγαθοῦ. ὄρσας διζήσιος. ἐκ δὲ κοίτης ἀγείρας ὥρμησε. διά τ' ἄγκεα καὶ διὰ βήσας.] ἀντὶ τοῦ διὰ ἀγκέων καὶ βησσῶν οὕτω γὰρ καλοῦνται οἱ κοῖλοι καὶ βάσιμοι τῶν ὀρῶν τόποι. δίκτα.] διώξει. θάμνῳ. θάμνοι καλοῦνται εἰ σύμφυτοι καὶ ὑλώδεις τόποι, παρὰ τὸ θαμινόν. ὃς ὁ τὸν οὐ δύνατο μάρψαι ποσὶν οὐδ' ὃς ἀλύξαι.] ὡς τάχιστος ὢν ὁ Ἀχιλλεὺς οὐ καταλαμβάνει τὸν Ἕκτορα. καὶ φασὶν οἱ μὲν πίτηλες αὐτὸν ὑπὸ τῆς Ποινῆς καταπονεῖσθαι πολλῷ πόνῳ πρότερον. ἵν' ὥσπερ ἐν θεάτρῳ νῦν μέζονα νίνηται πάθη. οἱ δὲ ὅτι τὸν ἐνδοτέρω καὶ πρὸς τῷ τείχει Ἕκτορα τοιοῦτον ὄντα, Ἀχιλλεὺς διπλάσιον ἐκαμνεν ἐξωθεν περιθέων. καταπτῆξας.] δειλιάσας. ὁρμήσειε πυλάων Δαρδανιάων.] ὡς ἐπὶ τὰς Δαρδάνου πύλας ὁρμήσειε ὑπεξέφερεν.] ὑπεξέφυγεν. ἀλίδηνε. καθήκατο.] κεφαλῇ. πῶς δ' ἂν ἐκεῖνον Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο.] ἢ τὰ ἑξῆς. πῶς δ' ἂν σφῆσιν ὁ Ἕκτωρ ἠδύνατο διαφυγεῖν τὸν Ἀχιλλέα, εἰ μὴ ὑστάτην βοήθειαν παρέσχεν αὐτῷ ὁ Ἀπόλλων προθύμως ὑποίσειν.] τάλαντα.] ζυγά.

διϊώσαντι.]

Νῦν δὴ νῶϊ γ' ἔολπα Διὶ Φίλε φάσθαι Ἀχιλλεῦ,
Οἶσεσθαι μέγα κῦδος Ἀχαιοῖσι πρῶτα νέας
Ἕκτορα δηϊώσαντε μάχης ἄτερ ἠδὲ ὀΐοντα,
Οὐ γὰρ ἔτι μένος ἐστὶν ἐπὶ δὴ πεφυγμένον ἄμμε γενέσθαι
Οὐ δ' εἴκειν μάλα πολλὰ πάθοι ἕκαεργος Ἀπόλλων,
Προπροκυλινδόμενον πατρὸς Διὸς ἀγλαὸν ὦκα.
Ἀλλὰ σὺ μὴ νῦν σῆθι φίλον κῆρ ἄμπνυε, τόν σε δὴ ἐγώ τοι
Οἰκομένην πεπιθήσω, ἐναντίβιον μαχέσασθαι.
Ὣς φάτ' Ἀθηναίη, ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ.
Στῆ δ' ἄρα τὴν μελίης χαλκογλώχινος ἐριδεὶς,
Ἣ δ' ἀρα τὸν μὴ ἔλειπε, κιχήσατο δ' Ἕκτορα δῖον,
Δηϊφόβῳ εἰκυῖα δέμας φθέγγεα φωνήν.
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα.
Ἠθεῖ' ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεὺς,
Ἀσυ ποδὶ Πριάμοιο σοσίν ταχέεσσι διώκων.
Ἀλλ' ἄγε δὴ στέωμεν, καὶ ἀλεξώμεσθα μένοντες.
Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ.
Δηίφοβ', ἦ μάν μοι ὁ πάρος πολὺ φίλτατος ἦσθα
Γνωτῶν, οὓς Ἑκάβη τε δὲ Πρίαμος τέκε τ' ἄνδρας,
Νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
Ὃς ἔτλης ἐμεῦ εἵνεκ' ἐπεὶ ἴδες ὀφθαλμοῖσι
Τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔνδοθε μίνυσι.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη.
Ἠθεῖ' ἦ μὴν πολλὰ πατὴρ καὶ πότνια μήτηρ,
Λίσσονθ' ἑξείης γονύμενοι, ἀμφὶ δ' ἑταῖροι
Αὖθι μένειν, τόσον γὰρ ὑποτρομέουσι ἅπαντες
Ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ,
Νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μὴ δέ τι δόρυ
Ἑσῶ φεισάμενοι, ἵνα εἰσόμεν εἴ κεν Ἀχιλλεὺς
Νῶϊ κατακτείνας ἥρωα βροτόεντα φέρηται
Νῆας ἐῢ γλαφυρὰς, ἦ κεν σῷ δουρὶ δαμείη.
Ὣς φαμένη, καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦλθον ἐπ' ἀλλήλοισιν ἰόντες
Τὸν πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ.
Οὐκέτι φεύξομαί σε περὶ Πριάμοιο πόληος
Τρὶς περὶ ἄστυ μέγα Πριάμοιο δίον, δὲ ἔτλην
Μεῖναι ἐπερχόμενον, νῦν αὖτέ με θυμὸς ἀνῆκε
Στήμεναι ἀντία σεῖο, ἕλοιμί κεν ἠὲ ἁλοίμην,
Ἀλλ' ἄγε δεῦρο θεοὺς ὀμόσωμεθα, τοὶ γὰρ ἄριστοι
Μάρτυροι ἔσσονται καὶ ἐπίσκοποι ἁρμονίαων
Οὐ γάρ ἐγώ σ' ἐκπαγλον ἀείκιῶ, ἄκριτα ἔμοιγε Ζεὺς
Δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφελώμαι.
Ἀλλ' ἐπεὶ ἄρκεσέ σε συλήσω κλυτὰ τεύχε' Ἀχιλλεῦ,
Νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν, ὦς δὲ σὺ ῥέζειν.
Τὸν δ' ἄρ' ὑποδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλ-
Ἕκτορ μή μοι ἄλασε σιωπηδὸν ἀγορεύειν (λεύς.

Ὡς δὲ κ

ἀνιώσαντες.] ἀνιλόντες. προπροκυλινδόμενον πατρὸς Διός.] πρὸ τοῦ πόλῳ τοῦ Διὸς κυλινδούμενον. ὁ ἐστιν ἱκετεύων. οὐ οἱ νῦν ἔτι δὴ ὀΐοντι πεφυγμένον ἄμμε γενέσθαι.] ἀδύνατόν φησίν ἐστιν αὐτῷ διαφυγεῖν ἡμᾶς. ἄμπνυε.] ἀνάπαυε. χαλκογλώχινος.] χαλκοῦς ἐχούσης γωνίας. νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι.] νῦν δ' ἔτι μᾶλλον σε τιμήσω. τοῖον.] τοίως. οὕτως. φεισάμενοι.] φείδω. κόρος. ὑπεροχή. σωτηρία. ἀπάτην. φοβήσομαι.] φεύξομαι. δίον.] ἵλεισα ἁλιωκόμην. ἔφευγον. θεοὺς ἐπιδώμεθα.] ὁμόσωμεν, ἐπόπτας καὶ μάρτυρας τῶν λεγομένων ποιησώμεθα. ἐπίσκοποι. ἔφοροι. φύλακες. ἁρμονιάων.] τῶν συνθηκῶν. ἄλασε.] ἀλάθητε. δεινὰ μὴ ἀνεπίλητα ἀργασμένα. καμμονίην.] τίσιν ἢ κατάμονος νίκην. δίην ἢ μονομαχοῦς. συνημοσύνας ἀγόρευε.] ἀντὶ τοῦ μοι περὶ συνθηκῶν διαλέγου.

ποιήσωσι.

Ὣς ὰν ἔεσι λέγουσι καὶ ἀνδράσιν ὅρκια πίστα,
Οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
Ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν,
Ὣς οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὐδὲ τι νῶϊν
Ὅρκια ἔσσονται, πρίν γ' ἢ ἑτέρου γε πεσόντα
Αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν,
Παντοίης ἀρετῆς μιμνήσκεο, νῦν σε μάλα χρή
Αἰχμητὴν τ' ἔμμεναι καὶ θαρσαλέον πολεμιστήν.
Οὔτοι ἔτ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
Ἔγχει ἐμῷ δαμάᾳ, νῦν δ' ἄθρόα πάντ' ἀπότισεις
Κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων,
Ἦ ῥα, καὶ ἀμπεπάλων προΐει δολιχόσκιον ἔγχος.
Ἁψὰς τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ,
Ἔζετο γὰρ προϊδών, τό δ' ὑπὲρ πάτο χάλκεον ἔγχος.
Ἐν γαίῃ δ' ἐπάγη, ἄνακτα δ' ἤρπασε Παλλὰς Ἀθήνη,
Ἂψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα ποιμένα λαῶν,
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλεΐωνα.
Ἤμβροτες, οὐδ' ἄρα πώ τι θεοῖς ὠΐσκετ' Ἀχιλλεύ
Ἐκ Διὸς ἠείδης τὸν ἐμὸν μόρον, ἦτοι ἔφης γε,
Ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
Ὄφρα σὺ σοὶ δείσας μένος ἠλκήν τε λαθοίμην,
Οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις,
Ἀλλ' ἴθυς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
Εἴ τοι ἔδωκε θεὸς, νῦν αὖτ' ἐμοὶ ἔγχος ἄλυξε
Χάλκεον, ὥς δή μιν σῷ γρόϊ πᾶν κομίσαιο.
Ἆ μάλα ἐλαφρότερος πόλεμος Τρώεσι γε μέλοι
Σοῦ κατατεθνηῶτος, σὺ γὰρ σφίσι κῆμα μέγιστον,
Ἦ ῥα, καὶ ἀμπεπάλων προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλε Πηλεΐδαο μέσον στάχυν, οὐδ' ἀφάμαρτε,
Τῆλε δ' ἀπεπλάγχθη στάχυος δόρυ, χώσατο δ' Ἕκτωρ
Ὅττι ῥά οἱ βέλος ἀκὺ ἐτώσιον ἐκφυγε χειρός,
Στῆ δὲ κατηφήσας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος,
Δηϊφοβον δ' ἐκάλει λευκαπίδα μακρὸν ἀΰσας
Ἥιτεε μιν δόρυ μακρόν, ὃδ' ὅτι οἱ ἐγγύθεν ἦεν.
Ἕκτωρ δ' ἔγνω ὀσίην φρεσὶ φώνησέν τε
Ὤ πόποι ἦ μάλα δή με θεοὶ βώλητόν δ' ἐκάλεσσαν,
Δηΐφοβον γὰρ ἐγὼ γ' ἐφάμην ἥρωα πεδεῖναι.
Ἀλλ' ὅ μὲν γὰρ τεῖχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
Νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακὸς, οὐδέτ' ἄνευθεν.
Οὐδ' ἀλέη, ἦ γὰρ ῥά πάλαι τόγε φίλτερον ἦεν
Ζηνί τε καὶ Διὸς υἷϊ ἑκηβόλῳ, οἵ με πάρος γε
Πρόφρονες ἐρύατο, νῦν αὖτέ με μοῖρα κιχάνει
Μὴ μὰν ἀπρηδεί γε καὶ ἀκλειῶς ἀκλοιμήν,
Ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσομένοισι πυθέσθαι.
Ὣς ἄρα φωνήσας, εὑράσατο φάσγανον ὀξύ.
Τό οἱ ὑπὸ λαπάρην τέτατο μέγα τε σιβαρόν τε.

Οἴμησεν

ἀναιρεθέντα. ὁμόφρονα θυμὸν ἔχουσιν.] ὁμονοῆσαι. φιλήμεναι.] εἰς φιλίαν ἐλθεῖν. ὑπάλυξις.] ἐκπλησις, φυγή. ἀποτίσεις.] ἐκτίσεις, ἀποδώσεις. μέρος.] εἱμαρμένην. ἐάσεις.] ἀφειδῶς ἐπίτασον, καὶ τὰ ἐπίτασιν ἔτι. ἤτοι ἐφης γε.] καίτοι ἐλέγες. ἀρτιεπής.] ἀπηρτισμένος καὶ ἱκανὸς ἐπεῖν. ἢ ἄρτι ἐσκευασμένος, ἕτοιμος. ἐπίκλοπος.] παραλογισμὸς, ἀπατεών. διὰ λόγων πλέπτειν τὶν ἀλήθειαν ἀδίκως. ἄλευε.] ἐκπλευε, φυλάσσου. ὀδ' ἀλλ' ἔχε.] ὁ δὲ αὐτί ἔτ γαρ. ὁ γὰρ ἔχειν ἄλλο. κατιφήσας.] συγνάσας. ἀλέη.] ἐκπλησις, φυλακή. χώσατο.] συνεχύθη, ἐλυπήθη. φίλτερον.] ἥδιον. ἐρύατο.] ἐρύοντος, ἐσωζον. ἀσπασίως.] χωρὶς κακοπαθείας. πυθέσθαι.] γνῶναι, μαθεῖν.

ἁμαλὸν.]

Οἵμησεν δὲ ἄλεϊς, ὥς τ' ἀετὸς ὑψιπετήεις,
Ὅς τ' ἔσιν ταχέων πολίων δὲ ἅλα νεφέων ἐρεβεννῶν,
Ἁρπάζων ἢ ἀρνὸν ἀμαλὴν, ἢ πτῶκα λαγωόν,
Ὣς Ἕκτωρ οἵμησε τινάσσων φάσγανον ὀξύ.
Ὧρμήθη δ' Ἀχιλεὺς, μένεος δ' ἐμπλήσατο θυμὸν
Ἀγρίου, προδέρη δὲ σάκος στέρνοιο κάλυψε
Καλὸν δαιδάλεον, κόρυθι δ' ἐπένευε φαεινῇ
Τετραφάλῳ, καλὰς δὲ πολισσόεντο ἔθειραι
Χρύσειαι, ἃς Ἥφαιστος ἴει λόφον ἀμφὶ θαμείας.
Οἷος δ' ἀστὴρ εἶσι μετ' ἄστρασι νυκτὸς ἀμολγῷ
Ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ.
Ὣς ἀιχμῆς ἀπέλαμπ' εὐκνήμιδος, ἣν ἄρ' Ἀχιλεὺς,
Πάλλε δεξιτερῇ φρονέων κακὸν Ἕκτορι δίῳ,
Εἰσορόων χρόα καλὸν ὅπῃ εἴξειε μάλιστα.
Τὰ δὲ κὰλ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη
Καλὰ τὰ Πατρόκλοιο βίην ἐναρίξε κατακτάς,
Φαίνετο δ' ᾗ πλεῖσται ἀπ' ὤμων αὐχένα ἔχουσι
Λευκανίης, ἵνα τε ψυχῆς ὦκιστος ὄλεθρος,
Τῇ ῥ' ἐπὶ οἱ μεμαὼς ἔλασ' ἐγχείῃ δίος Ἀχιλεύς.
Ἀντικρὺ δ' ἀπάλοιο δι' αὐχένος ἦλυθ' ἀκωκὴ,
Οὐδ' ἄρ' ἀπ' ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,
Ὄφρα τί μιν πρὸς εἶπε καὶ ἀμείβετο ἐπέεσσιν.
Ἤειπε δ' ἐν κονίῃσ' ὀδὸν ἐπεύξατο δίος Ἀχιλεύς.
Ἕκτορ, ἀτὰρ τὸ ἔψυδρα Πατροκλῆ ἐζενάριζον,
Σῶς ἔσταδ', ἐμὲ δ' ὀδὲν ὀπίζεο νόσφιν ἐόντα,
Νήπιε, τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
Νηυσὶν ὧδ' ἐγλαφυρῇσιν, ἐγὼ μετόπισθε λελείμμην,
Ὃς τοί γόνατ' ἔλυσα, σὲ μὲν κύνες ἠδ' οἰωνοὶ
Ἑλκήσσ' ἀϊκῶς, τὸν δὲ κτερεΐσουσιν Ἀχαιοί.
Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ,
Λίσσομ' ὑπὲρ ψυχῆς καὶ γόνων σῶν τε τοκήων.
Μή με ἔα παρὰ νηυσὶ κύνας κατὰ δάψαι Ἀχαιῶν,
Ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις χρυσόν τε δέδεξο
Δῶρα, τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ.
Σῶμα δ' οἶκα δὲ ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός μὲ
Τρῶες καὶ Τρώων ἄλοχοι, λελάχωσι θανόντα.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλ-
Μή με κύον γόνων γουνάζεο, μηδὲ τοκῆων, (λεύς,
Αἴ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
Ὠμὰ ἀποταμνόμενον κρέα ἐδμεναι, οἷά μ' ἔοργας.
Ὡς οὐκ ἔσθ' ὅς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι,
Οὐδ' ἤν δεκάκις τε εἴκοσι ἄποινα
Στήσωσ' ἠθαδέ' ἄγοντες, ὑποσχόντα δὲ καὶ ἄλλα,
Οὐδ' εἴκεν σαυτὸν χρυσῷ ἐρύσασθαι ἀνώγει
Δαρδανίδης Πρίαμος, οὐδ' ὡς σέ γε πότνια μήτηρ,
Ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή.

Ἀλλὰ

ἀμαλήν.] ἁπαλήν. τρυφεράν. νηπίαν
πῶϊκα.] λαγωόν. παρὰ τὸ πτήσσειν.
δειλὸν γὰρ τὸ ζῶον. ἀγρίῳ.] χαλεπῷ.
ἐνήνεν.] καλῶς ἠνεκημένης. ἢ ἢ κεἰ
ἄλλο τόσον μὴ ἔχε χρόα χάλκεα τεύ-
χη.] ἢ ἢ Ἕκτορος φησὶ τὸ μὴ λοιπὸν
σῶμα ὑπὸ τ' ὅπλων κατακάλυπτο. Πα-
τρόκλοιο βίην.] πορφυρασικῶς τὸν Πά-
τροκλον. ᾗ πλεῖσται ἀπ' ὤμων αὐ-
χένα ἔχουσι.] καθ' ὃ μορίου αἱ κατα-
κλεῖδες συνάπτουσι διέργουσαι τ' αὐ-
χένα ἀπὸ τ' ὤμων. λευκανίης. στόμα-
χος. λαμιές ἵνα τε ψυχῆς ὦκιστος ὄλε-
θρος.] ὅπῃ τρώσεως γενομένης, ταχεῖα
γίνεται δι' ψυχῆς ἡ ἀπώλεια, καί τοι
ἀθάνατον οἶδε τὴν ψυχὴν νῦν οὖν
τὴν ἀφάνειαν φησὶν αὐδῇ τὴν τὸν ἀπὸ
τ' σώματος χωρισμόν. Πραξαγόρας δ'
ἐν τῇ ἀνατομῇ οὕτως φησί. μετὰ δὲ τὴν
δι' γλώττης θύσιν ὑπάρχειν παρὰ τὸ
ὄσχατον τ' οὐρανοῦ ὑπινίς. μετὰ δὲ
ταύτην φάρυγξ. κεἶτα στόμαχος. ἔστι δὲ
ὁ μὲν φάρυγξ ἐκ τ' ἐμπροσθίου. ὁ δὲ στό-
μαχος ἐκ τ' ὀπισθίου, προσπεφυκὼς τοῖς
τ' τραχήλῳ σπονδύλοις. εἰς ὁ μὲν φάρυγξ
ἐμφύεται εἰς τὸν πνεύμονα. ὁ δὲ στόμα
χος εἰς τὴν κοιλίαν. κεἶτα μεταξὺ δὲ φά
ρυγγος κεἶ γλώσσης ἐπιγλωσσὶς ἐπι-
πωματίζουσα τ' φάρυγγος τὸ στόμα.
Ποσειδώνιος δέ φησι κατὰ ῥιπὴν δι'
τροφῆς σπίπτεσθαι ὑπὸ δι' ἐπιγλωττί-
δος τ' βρόγχου. ἔλασεν.] ἔπληξεν. ἔ-
τρωσεν. ἀσφάραγον.] φάρυγγα, βρόγ
χον. σῶς ἔσταδ'.] σωθήσεσθαι. ὀπίζεο
ἐντρεπὴν ἐποίου ἀοσσητῆρ.] βοηθὸς. ἀϊ
κῶς.] ἀπηνικῶς. ὑβριστικῶς. ὀλιγοδρα-
νέων.] ὀλιγοδυναμῶν. ὀλίγον ἰσχύων.
καταδάψαι.] καταδαπανῆσαι. κα-
τακόψαι. ἀπαλάλκοι.] ἀποδιώξοι. μή
μικρὸν γνάζεο μηδὲ τοκήων.] μή με
πρὸς τ' γονάτων καὶ γονέων λιτάνευε
ἐπεσι νήριτ' ἄποινα.] ἐπεσι πλασίο-
να. ἐπεσάκις ἰσισούμενα τῇ τ' σώμα-
τος σωτηρίᾳ. τὸ γὰρ ἐρίζειν, ἰσισοῦσθαί
ἐστιν. οὐ δ' εἶπεν σαυτὸν χρυσῷ ἐρύ-
σασθαι ἀνώγει.] οὐδὲ εἰ χρυσῷ σαλπί
σασθαι θελήσει τὸ σῶμα ὁ Πριάμος. ἐρύ
σασθαι.] ἐρύσασθαι γὰρ νῦν τὸ ῥυγο-
σατῆσαι.

λάσονται.]

Αλλὰ κύνες τε, καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.

Τὸν δὲ καταθνήσκων προσέφη κορυθαίολος Ἕκτωρ.
Ἦ σ' εὖ γινώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
Πείσειν, ἦ γὰρ σοί γε σιδήρειος φίλοθι θυμός,
Φράζεο νῦν μή τοι τι θεῶν μήνιμα γένωμαι
Ἡματι τῷ, ὅτε κέν σε Πάρις καὶ Φοῖβος Ἀπόλλων,
Ἐσθλὸν ἐόντ' ὀλέσωσιν, ἐνὶ Σκαιῇσι πύλῃσιν.

Ὣς ἄρα μιν εἰπόντα, τέλος θανάτοιο κάλυψε,
Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη, Ἄϊδος δὲ βεβήκει,
Ὃν πότμον γοόωσα, λιποῦσ' ἀδρότητα, καὶ ἥβην.
Τὸν καὶ τεθνειῶτα προσηύδα δῖος Ἀχιλλεύς.
Τέθναθι, κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
Ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσατο χάλκεον ἔγχος.
Καὶ τὸν ἄνευθεν ἔθηκ', ὅδε δ' ἄπ' ὤμων τευχὲ' ἐσύλα
Αἱματόεντ', ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
Οἵ καὶ θήσαντο φυὴν καὶ εἶδος ἀγητὸν
Ἕκτορος, ἀλλ' ἄρα οἱ τις ἀνστωτί γε πύθεσθαι.
Ὡς δέ τις εἶπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον,
Ὦ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι
Ἕκτωρ, ἢ ὅτε νῆας ἐνέπρησε πυρὶ κηλέῳ,
Ὣς ἄρα τις εἶπεσκε, καὶ οὐτήσασκε πελάσας.
Τὸν δ' ἐπεὶ ἀρ' ἐνάριξε πολύαρκυς δῖος Ἀχιλλεύς,
Στὰς ἐν Ἀχαιοῖσιν, ἔπεα πτερόεντ' ἀγόρευεν.
Ὦ φίλοι ἀργείων ἡγήτορες ἠδὲ μέδοντες,
Ἐπειδὴ τόν δ' ἄνδρα θεοὶ δαμάσσαθαι ἔδωκαν,
Ὃς κακὰ πολλ' ἔρδεσκεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι,
Εἶσ' ἄγετ' ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν.
Ὄφρα κε τι γνῶμεν Τρώων νόον ὅντιν' ἔχουσιν,
Ἢ καταλείψουσιν πόλιν ἀκρην τοῦδε πεσόντος,
Ἠὲ μένειν μεμάασι καὶ Ἕκτορος οὐκ ἔτ' ἐόντος.
Ἀλλὰ τίπτε μοι ταῦτα φίλος διελέξατο θυμός,
Κεῖται πρὰξ νήεσσι νέκυς ἄκλαυστος ἄθαπτος
Πάτροκλος, τοῦδ' οὐκ ἂν ἐγὼν ἐπιλήσομαι ὄφρ' ἂν ἔγωγε
Ζωοίσιν μετέω, καί μοι φίλα γούνατ' ὀρώρῃ.
Εἰδὲ θανόντων περ καταλήθοντ' εἰν Ἄϊδαο,
Αὐτὰρ ἐγὼ κἀκεῖθι φίλου μεμνήσομ' ἑταίρου.
Νῦν δ' ἄγ' ἀείσαντες παιήονα κῶροι Ἀχαιῶν,
Νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ' ἄγωμεν,
Ἡράμεθα μέγα κῦδος, ἐπέφνομεν Ἕκτορα δῖον,
Ὥ τρῶες ᾗ ἄσυ θεῷ ὡς εὐχετόωντο,
Ἣ ῥὰ καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
Ἀμφοτέρῳν μετόπισθε ποδῶν τέτρηνε τένοντε.
Ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπερ ἱμάντας,
Ἐκ δίφροιο δ' ἔδησε, κάρη δ' ἑλκεσθ' ἔασεν.
Ἐς δίφρον δ' ἀναβὰς ἀνάτε κλυτὰ τεύχε' ἄειρας,

Μάστιξεν

δάσονται.] μοιρίσονται. προτιδόσσομαι.] καλῶς γιγνώσκων καὶ προορῶν ταῦτά σοι λέγω. μάτην ἦ, οὐ γάρ σε πείθω. μήποτε τι θεῶν μήνιμα γένωμαι.] μή πως σὺ ἐκ θεῶν βλάβης αἰτιάσῃ σοι κατασῶ. θηήσαντο.] ἐθαύμασαν. ἄγητον. θαυμαστόν. ἀνστητί γε παρέστη. οὐδαμῶς γάρ τις χωρὶς ἢ ἐπιτιτρώσκειν τὸν Ἕκτορα παρέστη. ἀμφαφάασθαι.] καθάπαξ ψηλαφᾶσθαι. δαμάσασθαι ἔδωκαν.] δαμασθῆναι ἢ ἀναιρεθῆναι παρέσχον. πισόν τῳ.] νῦν ἀποθανόντι. ἐπειδὴ τὸν δ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν. σημειωτέον ὅτι ἀπιφάλοις χρῆται ὁ Ποιητής. ὥς τι οὐδεὶς πόρισπᾶν, φίλε πασίγνητι. ὑράμεθα.] ἐκτησάμεθα. Ἕκτορα δῖον.] ἀντὶ τοῦ κατὰ Ἕκτορος τοῦ δίου καὶ ἐνδόξου. τέτρηνε.] δίκοσψιν. ἐς σφυρὸν ἐκ πτέρνης ἀντὶ τοῦ, ἀπὸ σφυροῦ, ἕως πτέρνης. ἐκ δίφροιο δ' ἔδησε κάρη δ' ἕλκεσθαι ἔασε.] διατί Ἀχιλλεὺς θανόντα δίασύρει τὸν Ἕκτορα. κῆ λέγομεν. οὐ διὰ ὠμότητα. ὅς γε κῆ Ἡετίωνα φονεύσας οὐκ ἐσύλησεν. ἀλλὰ σὺν αὐτοῖς τοῖς ὅπλοις ἐθαψε. ἀλλ' ὅτι πρότερον ὁ Ἕκτωρ εἰς τὸν Πάτροκλον ἀεικέα μήσατο ἔργα. οἷα καὶ λέγει πρὸς αὐτ., κιφαλὴν ἦ θυμὸς ἀνώγει ὧδε ἀνὰ σκολόπεσι ταμόντ' ἀπαλῆς ἀπὸ δειρῆς. παρανομοῦσι δὴ οὐχ οἱ ἀμυνόμενοι ἀλλ' οἱ ἄρξαντες. ὁ δὲ Καλλίμαχος φησίν. ὅτι πάτριόν ἐστι Θετταλοῖς τοὺς τῆ φυλῆ φονέας σύρειν πρὸς τοὺς τῆ φονευθέντων τάφους. Σίμωνα γάρ φησι Θιασαλὸν τὸ γένος Εὐρυλάμαντα τὸν Μενελάου σύραι φασὶν ἀποκτέναντα Θρασύνορα τὸν ἀδελφὸν αὐτ. ἄψασθαί τε τῆ νεκρῶ τοῦ πρώτου. ἦτον γὰρ ἐβάλετο τῆ δίφρῳ τὸν φόνια καὶ πρὸς τὸν τοῦτο τελευτικότα τάφον ἕλκειν. ὡς Θιασαλὸν δὴ καὶ τὸν Ἀχιλλέα πατρίῳ ἔθει κῆ τὸ ποιῆσαι. πίλναντο

Μάσιξεν δὲ ἑλάαν, τῶδ' ὄκα ἄκοντε πετέσθην.
Τὸν δ' ἰὼν ἐλκομένοιο κονίσαλος, ἀμφὶ δὲ χαῖται
Κυάνεαι πίπναντο, κάρη δ' ἄπαν ἐν κονίῃσι
Κεῖτο πάρος χαρίεν, τότε δὲ Ζεὺς ἁλσμένεσσι
Δῶκεν ἀεικίσασθαι ἑῇ ἐν πατρίδι γαίῃ.
Ὡς τοῦ μὲν κεφαλὴ καὶ πᾶσαν, ἅδ' ἔγγυ μίτρῃ
Τίλετο κόμην· ἀκὴ δὲ λιπὼν ἐρέψει καλύπτρην
Τηλόσε, κώκυσεν δὲ μάλα μέγα πατρὶ ἐσιδοῦσα,
Ὤιμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοί,
Κωκυτῷ τ' εἴχοντο, καὶ οἰμωγῇ κατὰ ἄστυ,
Τῷ δὲ μάλιστ' ἄρ' ἔην ἀγαλίγκιον, ὥσεί τε πᾶσα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμήχοιτο κατ' ἄκρης,
Λαοὶ μὲν ῥα γέροντα μόλις ἔχον ἀχαλόωντα,
Ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
Πάντας δ' ἐλλιτάνευε κυλινδόμενος κατὰ κόπρον,
Ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον,
Σχέσθε φίλοι καί μ' οἷον ἐάσατε κηδόμενοι περ,
Ἐξελθόντα πόλιος ἰκέσθαι ἀνὰ νῆας Ἀχαιῶν,
Λίσσομ' ἀνέρα τοῦτον ἀτάσθαλον ὀβριμοεργόν,
Ἤν πως ἅλικίην αἰδέσσεται, ἠδ' ἐλεήσῃ
Γῆρας, καὶ δ' ἔγνω τοῦ δ' ἐστὶν πεῖος δὲ τέτυκται·
Γυλεύς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε πῆμα γενέσθαι
Τρωσί, μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκε,
Τόσσους γάρ μοι παῖδας ἀπέκτεινε τληθάοντας,
Τῶν πάντων δ' οὐκ τόσσον ὀδύρομαι ἀχνύμενός περ,
Ὡς ἑνός· ὅν μ' ἄχος ὀξὺ κατοίσεται εἰς Ἀΐδαο
Ἕκτορος, ὡς ὄφελε θανέειν γε χερσὶν ἐμῇσι,
Τῷ κε κορεσσάμεθα κλαίοντέ τε μυρομένω τε,
Μήτηρ θ' ἣ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός.
Ὡς ἔφατο κλαίων, ὦδὶ δὲ ς῾ωάχοντο πολῖται,
Τρωῇσιν δ' Ἑκάβη ἀδινὸν βάλε πῆχυ γόοιο.
Τέκνον, ἐγὼ δειλὴ τί νυ βείομαι ἀνὰ πληθύν,
Σοῦ ἀρτεθνειῶτος, ὅ μοι νύκτας τε καὶ ἦμαρ
Εὐχωλὴ πέλεσκε· σὲ δ' ἔνδοθι πάντες ἀρηες
Τρωσί τε καὶ Τρωῇσιν πολίῳ, οἵ σε θεὸν ὣς
Δειδέχατ', ἦ γὰρ κεφαλὴ μάλα μέγα κῦδος ἔνασθα
Ζωὸς ἐών, νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Ὡς ἔφατο κλαίουσ', ἄλοχος δ' οὔπω τι πέπυστο
Ἕκτορος, οὐ γάρ οἱ τις ἐτήτυμος ἄγγελος ἦλθεν,
Ἤ γε μάλ', ὅππῃ ῥα οἱ πόσις ἔκτοθι μίμνε πυλάων,
Ἀλλ' ἤγ' ἰσόν ἥφαινε μυχῷ δόμου ὑψηλοῖο.
Δίπλακα μαρμαρέην ἐν δὲ θρόνα ποικίλ' ἔπασσε.
Κέκλετο δ' ἀμφιπόλοισιν εὐπλοκάμοις ἔνι δώμασ
Ἀμφὶ τρίποδα πᾶσαι πρόπροθεν μέγαν, ὄφρα τέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκνοσήσαντι
Νηπίη, ἀτὰρ ἐνόησεν, ὃ μὴ μάλα πολλὰ λοετρὰ

Χερσὶν

πίλναντο.] τῇ γῇ προσιπιλάβετο. λιπαρῶν.] λαμπρὰν. κώκυσε.] θρηνῶδες ἀϋτὸν ἔσιεν. οἰμωγῇ.] ὀδυρμῷ. σμήχοιτο.] καταφλέγοιτο ὁ ἦ λόγος τοιοῦτος φησὶ θρῆνος διεγήγερτο. ὡς δὴ Ἰλίς πάσης ὑπὸ πυρὸς καταφλεγομένης. ἐφρυάσατο.] ὡς ὕψος ἀποπολισμένη, μεταφορὰ ὁ ῥόπος.

ἀσχαλόωντα.] ἀυσαναστενάζοντα, λυπούμενον. ἰδνοῦμαι κλίνομαι.] ἰδὼ δὲ ὀνόματος καλῶ. σχέσθε.] ἐπίσχετε. ἀτάσθαλον.] ἁμαρτωλὸν, ἄδικον. τληθάοντας.] πολὺ βάλλοντας, ἀπομάξοντας. κατοίσεται.] καταστήσει, ἀποκομίσει. ἀδινὸν.] νῦν ἐλεεινὸν, οἰκτρόν. πελίσκετο.] ὑπῆρχεν, ἐγένετο. ἔνειαρ.] ὠφέλεια. θρόνα.] ποικίλματα, ἄνθη. ἔπασσε.] ἐποίκιλλεν. ἰδὼ δὲ καὶ πανταχοῦ.

ἀπνευ-

κωκυτ῀ δ' ἤκουσεν.] ἀντὶ τ῀ θρήνου ἤκουσεν. ἰζήτηται ἢ πῶς τοσοῦτος γινομένου θορύβου, μόλις Ἀνδρομάχη προῆλθε. φασὶ δ' ὅτι ἡ προτέρα τ῀ ἀνδρὸς ἐπίπληξις ἡ ἐν τῇ ῥ. σωφρονεῖν αὐτὴν ἠναγκαίμενον ἐλελίχθη.] κλονοειδῶς ἐνσείσθη ὑπὸ τρόμου. πάλλεται.] πάλλει. ἀγωνιᾷ. αἱ γὰρ ἀπ' οὔατος εἰσὶν ἐμοῦ ἔπος.] εἰθε γὰρ μὴ ἤκουσα πρὸ τ῀ λόγου τούτου. ἀγήνορίης.] νῦν ἀνδράσι. τὸ δ' ἔμ' ἀνθ῀.] πῶν ἐλίαχε μόνον. δ῀ πος.] φωνῆς. Ἕκτορ τέκνον ἐμόν τίνυ βάομαι. ἀντὶ τ῀, εἰς τί ἔτι βιώσω. ὅ ἐστι βήσομαι. πῶς ἐπάδῃ μὴ οὐ πίπτει. Ἀνδρομάχη δ' ἤκουε ῥᾳδίως ὅτι ἐπάνω μὲν ἐκ τ῀ κατ' ὀλίγον καὶ ἐμπροσαγωγῆ ἐξεμάνη τὸ πάθος, οὐκ ἐτέθη τ῀ παθῶν τοσοῦτον. Ἀνδρομάχη δ' ἀπροσδοκήτως εἰσπεσοῦσα, εἰκότως τ῀ τὸ πάσχειν ἀκήλητος.] ἀφρονέστερος. ἀμελῶς. ἀπὸ τ῀ ψυχὴν ἐκάπυσεν.] ἀνέπνευσε τ῀ πῶν ψυχήν. κάπος γὰρ καλεῖται τὸ πνεῦμα, κατὰ διάλεκτον δ῀ οὗ καὶ κῦπος. κρήδεμνον.] κιφαλόδεσμον. ἄμπυκα.] πόσμον τινὰ περὶ πῶν κιφαλὴν ἀνέχοντα τὰς τρίχας ἀπ' κιφαλῆς. κεκρύφαλον.] τὸν πρὸς ἡμῶν λεγόμενον κροκύφαντον. ἑλικτὰ ὑπὸ τ῀ νυμφῶν διδόμενα λῶρα τῆς γαμεμένας. ἐνατίης.] αἱ τ῀ ἀδελφῶν γυναῖκες. αἰνόμορον.] κακόμορον. ἄμπυτο.] ἀνέπνευσεν. ἀπεῖσί σουσι.] παραγενόμενοι ἀφαιροῦσουσιν. ἀγρόμην.] συνεθροίσθη. ἀμβλήδην ἀναφορροῦσα ἀθρόως τὸ πνεῦμα. ἦι.] μιᾷ. παναφύλικα.] πάντων ἡλικιωτ῀ ἐσθημένον τετίγι ἐλαννόμενον ἀπ' αὐτ῀ διατριβῆς. ὑπεμύμνει.] κατεμέμνει. κατεγύναι. κάτω βλέπει ὁ Ἀρίσταρχος ἐπὶ τ῀ κατανένευκε ἐπὶ δίκειται. οἱ δὲ ἀντὶ τοῦ εἰς ἀνάμνησιν ἔρχεται τ῀ πατρός.

ἀνόμενος

Χερσὶν Ἀχιλλῆος, δάμασεν γλαυκῶπις Ἀθήνη.
Κωκυτῷ δ' ἤκουσε καὶ οἰμωγῆς ἀχέων πύργος.
Τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔπεσε κερκίς,
Ἠδ' αὖτις δμωῇσιν ἐϋπλοκάμοισι μετηύδα.
Δεῦτε δύω μοι ἕπεσθον, ἴδωμ' ὅτιν' ἔργα τέτυκται,
Αἰδοίης ἐκυρῆς ὀπὸς ἔκλυον, ἣν δέ μοι αὐτῇ,
Στήθεσι πάλλεται ἦτορ ἀνὰ δόμα, νέρθε δὲ γοῦνα
Πύγνυται, ἐγγὺς δ' ἤ τι κακὸν Πριάμοιο τέκεσσιν,
Αἰ γὰρ ἀπ' ὄατος εἴη ἐμεῦ ἔπος, ἀλλὰ μάλ' αὖως
Δείδω, μή δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς,
Μοῦνον ἀποτμήξας πόλιος πεδίον δὲ δίηται
Καὶ δήμιμν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς,
Ἥμιν ἔχεσκ', ἐπεὶ ὄφρα ποτ' ἦεν πληθύι μέγ' ἀνδρῶν
Ἀλλὰ πολὺ πρόφερεσκε, νόῳ ὄρμαινε δὲ θυμῷ.
Ὣς φάμενν', μεγάροιο διέκυρε, μαινάδι ἴση
Πάλλομένη κραδίην, ἅμα δ' ἀμφίπολοι κίον αὐτῇ.
Αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἵξεν ὅμιλον,
Ἔστη παπτήνασ' ὠδὶ τείχεϊ, τὸν δ' ὄφθησεν
Ἑλκόμενον πρόσθεν πόλιος, ταχέες δὲ μιν ἵπποι
Ἕλκον ἀκηδίεσως κοίλας ἐπὶ νῆας Ἀχαιῶν,
Τὴν δ' ἐκάτ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν,
Ἧρ ἰπὲ δ' ἔβη ὀπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε.
Πῆλε γ' ἀπὸ κρατὸς, χέε δέσματα σιγαλόεντα,
Ἄμπυκα κεκρύφαλόν τε ἠδὲ πλεκτὴν ὠνὰ δέσμην,
Κρήδεμνόν θ' ὅ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη,
Ἡματι τῷ ὅτε μιν κορυθαίολος ἠγάγεθ' Ἕκτωρ
Ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα.
Ἀμφὶ δέ μιν γαλόω τε καὶ εἰνατέρες ἅλις ἔσαν,
Αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
Ἣδ' ἐπεὶ ὃν ἄμπνυτο καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
Ἀμβλήδην γοόωσα μετὰ Τρῳῇσιν ἔειπεν.
Ἕκτορ, ἐγὼ δύστηνος ἰῇ ἅρα γινόμεθ' αἴσῃ
Ἀμφοτέροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου ἔθ' δῶμα,
Αὐτὰρ ἐγὼ θήσουσιν, ἵνα πλάκῃ ὑλήεσσῃ,
Ἐν δόμῳ Ἠετίωνος, ὅμ' ἔτρεφε τυτθὸν ἐοῦσαν
Δύσμορον ἀνόμορον, ὡς μὴ ὤφελε πειθέμεν.
Νῦν δὲ σὺ μὲν Ἀΐδαο δόμους ἔνδον κεύθεσι γαίης
Ἔρχεαι, αὐτὰρ ἐμὲ συγερῷ ἐν ὠχθῇ λείπεις
Χήρην ἐν μεγάροισιν, πάϊς δ' ἔτι νήπιος αὖτως,
Ὃν τέκομεν σύτ' ἐγώ τε δυσάμμοροι, οὔτε σὺ τούτῳ
Ἔσσεαι Ἕκτορ ὄνειαρ, ἐπεὶ θάνες, οὔτε σοί οὗτος,
Ἦ ῥ' ἢ γ' πόλεμόν γε φύγῃ πολυδακρυν Ἀχαιῶν,
Αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω
Ἔσονται, ἄλλοι γάρ οἱ ἀπηρείσσονται ἀρούρας,
Ἦμαρ δ' ὀρφανικόν, πανάφηλικα παῖδα τίθησι.
Πάντα δ' ὑπεμνήμυκε, δεδάκρυται δὲ παρειαί.

Δευόμενο῀

Δευόμενος δ' ἐτ' ὦκεσι πόδας ἐς πατρὸς ἑταίρου,
Ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος.
Τῶν δ' ἐλεησάντων κοτύλην πὶς τυτθὸν ἐπέχει,
Χείλεα μὲν τ' ἐδίην, ὑπερώην δ' οὐκ ἐδίνει.
Τὸν δὲ καὶ ἀμφιβαλὼν ἐκ δαιτύος ἐσφέλιξε
Χερσὶ πεπληγώς, καὶ ὀνειδείοισιν ἐνίσσων,
Ἔρρ' οὕτως, ὃ σός γε πατὴρ μεταδαίνυται ἡμῖν.
Δακρυόεις δ' ἐτ' ἄεικι πόδας ἐς μητέρα χήρην
Ἀσυάναξ, ὃς πρὶν μὲν ἐὼν παρὰ γούνασι πατρὸς
Μυελὸν οἷον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν,
Αὐτὰρ ὅ γ' ὕπνος ἔλοι πάυσαι τότε νηπιαχεύων
Εὐδέσκ' ἐν λεκτροισιν ἐν ἀγκαλίδεσσι τιθήνης
Εὐνῇ ἐνὶ μαλακῇ θαλέων ἐμπλησάμενος κῆρ.
Νῦν δ' ἂν πολλὰ πάθησι φίλος ἀπὸ πατρὸς ἁμαρτὼν
Ἀσυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέεσκον,
Οἷος γὰρ σφιν ἔρυσο πύλας δὲ τείχεα μακρὰ,
Νῦν σὲ σὲ μὲν παρὰ νηυσὶ Κορωνίσι νόσφι τοκήων
Αἶολαι εὐλαὶ ἔδονται, ἐπεί κε κύες κορέσωνται
Γυμνόν. ἀτὰρ τοι εἵματ' ἐνὶ μεγάροισι κέονται,
Λεπτά τε καὶ χαρίεντα τετυγμένα χερσὶ γυναικῶν,
Αλλ' ἤτοι τάδε πάντα κατάφλεξω πυρὶ κηλέῳ
Οὐδέν σοι γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
Ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.
Ὡς ἔφατο κλαίουσ' ὦκα δὲ σενάχοντο γυναῖκες,

δευόμενος. ἐνδεὴς ὤν. ἐπίσχει. τῷ τοῦ ματι προσήνεγκε. κοτύλην. νῦν εἶδος ποτηρίου. οὕτω λέγουσι καὶ τὸ τῆ ἰσχίου θοῦμα, καὶ πᾶν τὸ κοῖλον. ὑποδρώμην. τὸν καλούμενον οὐρανίσκον. ἀμφιβαλὼν. κατὰ ἀμφοτέρους τοὺς γονεῖς βάλλων, ὅ ἐστιν ἔχων τοὺς γονεῖς ἀμφοτέρους. ἐνιφέλιξε. μετὰ πληγῶν ὕβρεσιν. ἐνίσσων. ἐπιπλήσσων. κακολογῶν. οὕτως. ὡς ἔχεις. μεταδαίνυται ἡμῖν. μεθ' ἡμῶν ἐνωχεῖται. νηπιαχεύων. νήπια φρονῶν. νηπιευόμενος. ἔλοισιν. ἤδιστον. θαλέων ἐμπλησάμενος κῆρ. πάντων τῶν πρὸς τὸ βάλλειν ἐμπλησθείς. μυελόν. τὸ νοσιμάταλον τῆ τροφῆς. πίονα λίπος. τὸν ἐπίπλουν τὸ λίπος. ἀπὸ πατρὸς ἁμαρτών. χωρισθείς. ὅ ἐστι τῆ πατρὸς ἀπισχήσας. ἀεὶ σαι. ποικίλαι. ἐνκίνητοι. ἔρυσο. ἐφύλαττες. ἐῤῥύσω. σπώλησις. παρὰ τὸ ἀσπαίρεσθαι. ὅ ἐστι πνεῖσθαι. τῷ ἢ τόνῳ ὡς ἐν νεὰ. κέονται. κεῖνται χαρίεντα. ἐυχάριτα. καλά. ἀλλὰ πρὸς Τρώων καὶ Τρωάδων πλέος εἶναι. ὁμοίως ἂν φιλοδρυγῶν. ἤτοι ὡς ἂν πλησίων. ἢ διὰ τὴν ἐκ τῆ πλήθους δόξαν.

ΥΠΟΘΕΣΙΣ ΤΗΣ Ψ ΤΟΥ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ.

Ἀχιλλεὺς τῆ νενομισμένῳ ἐπὶ τοῖς νεκροῖς μεταλίδωσι Πατρόκλῳ τυραννήσας καὶ σφάξας ἐπ' αὐτῷ δυοκαίδεκα Τρωικοὺς νεανίσκους, καὶ βύνας, καὶ ἵππους, καὶ ἄλλα ἱερεῖα. ἔπειτα καὶ ἀγῶνα ἐπιτάφιον ποιεῖ. ἐν ᾧ νικᾷ ἵπποις βῆ Διομήδης, δρόμῳ δ' Ὀδυσσεύς, ἄλλοι δ' ἄλλοις. καὶ οὕτως ὁ ἀγὼν διαλύεται.

ΣΚΟΛΙΑ

ΣΧΟΛΙΑ ΕΙΣ ΤΗΝ Ψ. ΤΟΥ Ομηρου ραψωδίαν.

Πρὶν νῆάς τε κὴ Ελλήσποντον ἵκοντο.] ἀκέφαλον καλεῖται τὸ τὸ μίτρον. ὑπόνυθε γὰρ καταρχὰς ὁ τίχος. Ελλήσποντον ἢ καλεῖ, τὴν πύριξ Ιλίου θάλασσαν. ὅγε.] οὗτός γε. αὐτοῖς ἵπποισι κὴ ἅρμασι.] κατὰ Ατλικὸν ἔθος φέρασι χωρὶς τοῦ σὺν. ὅ γὰρ.] τοῦτο γὰρ. τιταρπώμεθα.] τερφθῶμεν. λοιπήσομεν.] λειπνήσομεν. ἴμβρον.] ἐπιθυμίαν. λιύοντο.] ἐρίχοντο. ψάμαθοι αἱ παραθαλάσσιοι ἄμμοι. ἁλινοῦ.] νῦν πυκνοῦ συνεχοῦς. γόοιο.] θρήνου. ἀποθειροτομήσειν. ἀποτεμεῖν τὰς τραχήλους. Εκτορα λίον.] κατὰ Εκτορ Θ ἸλίουἍγουν ἐνλόχυ. πάρ λεχέεσσι. παρὰ τῷ φερέτρῳ. ἄγουν τῇ πλίνῃ. ἀφωπλίζοντο.] ἀφηροῦντο τὰ ὅπλα. τάφον μνοεάκια λᾶαν.] τάφον τὸ πορίλειπον. τὸ ἐπὶ τοῖς τιθεμένοις παρασκευαζόμενον. οἱ Κύπριοι καὶ τὸν φόνον τάφον καλοῦσι. μνοεάκια.] θυμῆρες. αὐταρκες. λᾶαν.] ὑψηλὸν. ὀρέχθοιον.] ἀπετείνοντο ἀναιρούμενοι. ἢ ἐφθίγγοντο, καὶ ὥσπερ ἐπέτεινον. μεμίμηται γὰρ τὸ ἰλίωμα τῆ φωνῆς ὁ προέντα ἀναιρούμενοι οἱ βόες. οἱ ἢ ἐπόπτονλο, ἀπὸ τότε καὶ ἐριγμὸς ὁ ἀποκομμένος. κύαμος μηκάδες. μηνυτικάς. ἀπὸ τοῦ ἰλιώματος τῆ φωνῆς. θαλίθοντες. θάλλοντες. λιπαρεί. ὑόμενοι.] φλογιζόμενοι. τανύοντο. ἰθυτένοντο φλογιζόμενοι τῷ πυρί. κοτυλήρυτον.] τοσοῦτον τῷ πλήθει. ὥς τε καὶ κοτύλη ἀρύσαιτο. κοτύλην ἢ πᾶν τὸ κοῖλον ἔλεγον. ὥς τε καὶ τὸ κοῖλον τῆ χειρὸς κοτύλην λέγεσθαι. εἰς Αγαμέμνονα.] ἀντὶ τοῦ πρὸς τὸν Αγαμέμνονα. σπουδῇ παρεπείθοντες.] μόλις καὶ μετὰ πολλῆς κακοπαθείας πείσαντες.

τρίπολα.]

ΙΛΙΑΔΟΣ Ψ ΟΜΗΡΟΥ ΡΑΨΩΙΔΙΑΣ

Τὶ Δαναοῖς ἀγῶνα διαφόρους ἐτέλεσεν Αχιλλεύς.

Σοὶ μὲν ἐπαύχοντο πρὸ πόλιν. αὐτὰρ Αχαιοὶ
Επειδὴ νῆας τε κὴ Ελλήσποντον ἵκοντο,
Οἱ μὲν ἄρ ἐσκίδναντο ἐπὶ σφῆ νῆας ἕκαστοι,
Μυρμιδόνας δ᾽ ὄτρυνε ἑὰς ἀποσκίδναται Αχιλλεύς,
Αλλ᾽ ὄγε οἷς ἑτάροισι φιλοτοπλέμοισι μετηύδα.
Μυρμιδόνες ταχύπωλοι ἐμοὶ ἑρίηρες ἑταῖροι.
Μὴ δήπω ἵππω ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
Αλλ᾽ αὐτοῖς ἵπποισι κὴ ἅρμασιν ἄσσον ἰόντες,
Πάτροκλον κλαίωμεν, ὁ γὰρ γέρας ὄβριμον θανάντων,
Αὐτὰρ ἐπεὶκ ὀλοοῖο τεταρπώμεθα γόοιο.
Ἵππους λυσάμενοι, δορπήσομεν ἔνθάδε πάντες.
Ὡς ἔφατ᾽ οἱ δ᾽ ὤμωξαν ἀολλέες, ἦρχε δ᾽ Αχιλλεύς,
Οἱ δὲ τρὶς πρὸς νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους
Μυρμιδόνες, μετὰ δὲ σφι Θέτις γόον ἵμερον ὦρσε.
Δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
Δάκρυσι, τοῖον γὰρ ποθέων μήσωρα φόβοιο.
Τοῖσι δὲ Πηλείδης ἀδινὸν ἔζευγε γόοιο,
Χεῖρας ἐπ᾽ ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου.
Χαῖρε μοι ὦ Πάτροκλε, καὶ εἰν Αΐδαο δόμοισι,
Πάντα γὰρ ἤδη σοι τελέω τὰ πάροιθεν ὑπέστην.
Ἕκτορα δεῦρ᾽ ἐρύσας λώσειν κυσὶν ὠμὰ δάσασθαι,
Δώδεκα δὲ πρόπάροιθε πυρῆς ἀποδειροτομήσειν.
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς,
Ἦ ῥά. καὶ Εκτορα δῖον ἀεικέα μήδετο ἔργα.
Πρηνέα παρ λεχέεσσι Μενοιτιάδαο τανύσας
Εν κονίησ᾽. οἱδ᾽ ὧν τε ἀφωπλίζοντο ἕκαστοι,
Χάλκεα μαρμαίροντα, λύοντο δὲ μώνυχας ἵππους.
Καδδίζον πρὰ νηί ποδώκεϊ Αἰακίδαο
Μυρίοι, αὐτὰρ ὁ τοῖσι τάφον μνοεικέα δαῆνυ,
Πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ
Σφαξόμενοι, πολλοὶδ᾽ οἶες καὶ μηκάδες αἶγες,
Πολλοὶ δ᾽ ἀργιόδοντες ὗες θαλέθοντες ἀλοιφῇ
Εὑόμενοι τανύοντο πρὰ φλογὸς Ηφαίστοιο,
Πάντῃ δ᾽ ἀμφὶ νέκυν κοτυλήρυτον ἔρρεεν αἷμα,
Αὐτὰρ τόν γε ἄνακτα ποδώκεα Πηλείωνα.
Εἰς Αγαμέμνονα δῖον ἄγον βασιλῆες Αχαιῶν.
Σπουδῇ παρπεπίθοντες ἑτοίμῳ χώμενον κῆρ.
Οἰδὶ ὅτε δὴ κλισίην Αγαμέμνονος ἵξον ἰόντες.

Αὐτίκα

Αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευεν,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, αἴ κε πέπιθοιεν
Πηλείδην λύσασθαι ἀποερύσαντα κέκαστον.
Αὐτὰρ ὅ γ' ἠρνεῖτο συγερῶς, ἐπὶ δ' ὅρκον ὄμοσσεν.
Οὔ μὰ Ζῆν' ὅς τις τε θεῶν ὕπατος, καὶ ἄριστος,
Οὐ θέμις ὅττι λοετρὰ καρήατος ἄσσον ἱκέσθαι,
Πρίν γ' ἐνὶ πάτροκλον θέμεναι πυρί, σῆμά τε χεῦσαι
Κείραθαί τε κόμην ἐπεὶ ὅμ' ἔπι πένθος ἄρηται.
Ἴσχεο· ἄχος καδίην ὄφρα ζωοῖσι μετείω.
Ἀλλ' ἤτοι μὲν νῦν συγερῇ πειθώμεθα δαιτί.
Ἠῶθεν δ' ὄτρυνον ἄνακτ' ἀνδρῶν Ἀγαμέμνονα,
Ὕλην τ' ἀξέμεναι πεδά τε σχέσθαι ὡς ἐπέοικε
Νεκρὸν ἔχοντα νέεσθαι, ὃ δὲ ζόφον ἠερόεντα,
Ὄφρ' ἤτοι τόν μὲν πῦρ αἰθὴρ ἀκάματον πύσῃ
Θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοί, δ' ἐπὶ ἔργα βάπτωνται.
Ὣς ἔφατ', οἱ δ' ἄρα τοῦ μάλα μὴ κλύον, ἀμφὶ δ' ἑπίθοντο.
Ἐσταμένως δ' ἄρα πόρπον ἀνὰ στρατὸν ἐξοπλίσαντες ἕκαστοι.
Δαίνυντ', οὐδέ τι θυμὸς ἐλεύσετο δαιτὸς ἐΐσης
Αὐτὰρ ἐπεὶ πόσιός τε καὶ ἐδητύος ἆρ' ἔρον ἕντο,
Οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος.
Πηλείδης δ' ἐν θινὶ πολυφλοίσβοιο θαλάσσης,
Κῆτος βαρυστενάχων πολέσι μετὰ Μυρμιδόνεσσιν,
Ἐν καθαρῷ ὅθι κυμα τ' ἐπ' ἠϊόνος κλύζεσκον,
Εὖτε νὺξ ὕπνος ἔμαρπτε λύων μελεδήματα θυμῷ
Νηδύμως ἀμφιχυθείς, μάλα γὰρ κάμε φαίδιμα γυῖα,
Ἕκτορ' ἐπαΐσσων πρὸς Ἴλιον ἠνεμόεσσαν.
Ἦλθε δ' ἐπ' αὐτῷ Ψυχὴ Πατροκλῆος ἀείρη
Πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα καλ' εἰκυῖα,
Καὶ φωνήν, καὶ τοῖα πεδύρχοι εἵματα ἕσσο.
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Εὕδεις, αὐτάρ ἐμεῖο λελασμένος ἔπλευ Ἀχιλλεῦ,
Οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος.
Θάπτε με ὅττι τάχιστα, πύλας Ἀΐδαο περήσω.
Τηλέ με εἴργουσι ψυχαὶ εἴδωλα καμόντων,
Οὐδέ με πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν,
Ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
Καί μοι δὸς τὴν χεῖρ' ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
Νίσομαι ἐξ Ἀΐδαο, ἐπὴν με πυρὸς λελάχητε.
Οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
Βουλὰς ἑζόμενοι βουλεύσομεν, ἀλλ' ἐμὲ μὲν κὴρ
Ἀμφέχανε συγερή, ἣπερ λάχε γεινόμενον περ·
Καὶ δὲ σοὶ αὐτῷ μοῖρα θεοῖς ὑπὸ εἰκελ' Ἀχιλλεῦ,
Τεῖχει ὑπὸ Τρώων εὐηγενέων ἀπολέσθαι.
Ἄλλο δέ τοι ἔρεω καὶ ἐφήσομαι, αἴκε πίθηαι,
Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ' Ἀχιλλεῦ,
Ἀλλ' ὁμοῦ ὡς ἔτρεφόμεν γ' ὑμετέροισι δόμοισιν.

Εὖτε

τρίποδα.] λέβητα βάσιν ἔχοντα τριῶν ποδῶν. βρότον.] τὸν φόνον. οὔ μὰ Ζῆν'.] οὐ μὰ τὸν Δία. ὕπατος.] ὅτι ὁ μέγιστος ἢ ὁ ἄριστος. οὐ θέμις.] οὐ δίκαιον. οὐ προσῆκον. μετείω.] μετὰ τῶν λυτρῶν.] ἔσχατον. χεῦαι.] χῶσαι. ἐπεὶ οὐ μ' ἔτι λυτρὸν ὧλε ἴξεται ἄχος καδίην.] οὐκ ἂν μοι ἄλλο τοιοῦτο συμβήσεται κακόν. ῥέφει σκότος. δῦ ὑμᾶς ἄδην λέγομεν. ἠρόεντα.] ἀερώδη. σκοτεινόν. ἠ πλατύν. ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκον.] ὅπου ἐπικλύζουσα ἡ θάλασσα ἐποίει καθαρὸν τὸν αἰγιαλόν. εὖτε νύκτα. μιλτοφόρους. Ἕκτορ ἐπάϊσσων.] ἐπὶ Ἕκτορα ὁρμῶν. ἁρπάζειν. ἐλάμβανεν. ἔπλευ.] ἐγίνου ἀκήδεις.] ἀφροντίζεις. ἰδίαν.] ἀπεθανίσματα. καμόντων.] τεθνηκότων. ἀλάλημαι.] πλανῶμαι. εὐρυπυλὲς.] πλατείας πύλας ἔχον. ὀλοφύρομαι.] οἰκτίζομαι. θρηνῶ. ἐλλείπει ἡ γὰρ ἵνα. νίσσομαι.] παραγενήσομαι. λιτὰς χητε.] λαχεῖν καὶ τυχεῖν ποιήσεται. φίλων ἀπάνευθεν ἑταίρων. τῶν ἑταίρων ἄπο θεν τῶν ὁμοτέρων. τοῦτο γὰρ προσυπακουστέον. ἀμφέχανε.] κατέπιεν ὑπεγένετο.] εὖ λιαγόντων, ὑγιαινόντων. ἐφήσομαι.] ἐπισκήψομαι ἐντελοῦμαι. ὁμότροφοι

ὑμέτερόν δε.] προσλιπαῖνον εἶπον Οπόεντος.] Οποεῦντ☉. ὁ ἢ Οποῦς πόλις ἡ Λοκρίδος. ἀνδροκτασίης ὑπὸ λυγρῆς.] λιὰ τὴν χαλεπὴν ἀνδροφονίαν. ἐνδυκέως.] ἐπιμελῶς. παῖδα Αμφιδάμαντ☉.] κλυσώνυμ☉. ἢμ ὁ ὑπὸ Πατρόκλου ἀναιρεθέτ. ὁ ἢ ἱστορία ἄρυται ἐν τῇ.μ. ἀιξάμεν☉.] ὑποδιξάμεν☉. ὁμή.] ὁμοία καὶ ἡ αὐτή. ὡς ἢ καὶ ὀτέα νῶϊν ὁμὴ σορός. Διόνυσος Ηφαιστον γενόμενον ἐν Νάξῳ μᾶ τ Κυκλάδων ξενύσας, ἐλαβε παρ αὐτ δῶρον χρύσεον ἀμφορέα. διωχθεὶς ἢ ὕστερον ὑπὸ Λυκούργ καὶ καταφυγὼν ἐς θάλασσαν. φιλοφρόνως αὐτ ὑποδιξαμένης Θέτιδος, ἐδίωκεν αὐτῇ τὸν Ηφαιστότευκτον ἀμφορέα. ἡ ἢ τῷ παιδὶ ἐχαρίσατο. ὅπως μετὰ θάνατον ἐν αὐτῷ ἀποτεθῇ τὰ ὀστᾶ αὐτ. ἰσοῤῥᾶ Στησίχορ☉. ἀμφιφορεύς.] νῦν σορός. λέγεται ἢ οὕτω καὶ τὸ μέγα κῤῥάμεον. τιταρπώμεθα γόοιο.] οὕτω γὰρ ὁ Ὁμῆρ☉. ἀτόρητος ἐστι καὶ παραμυθεῖται ἢ τοὺς ἀνιωμένους. ὠρίξατο. νῦν προετέτατο. τεθριγυῖα.] τρίζουσα. καὶ ἢχον ἀποτελοῦσα. συμπλατάγησι.] ψόφον ποιήσει. συνεκρύπτομεν. ὀλοφυδνόν.] ἐλεεινόν. οἰκτρόν. ὀρηνῶδες. φρένες.] νῦν ὅλον τὸ σῶμα. ἴκτο. ὁμοίωτο. δισκίλον.] ἀντὶ τ δισκέλως. ὅ ἐστι δάκος καὶ θαυμαστῶς. ἀγαπήνορ☉.] ἀνδρεῖον. ὑλοτόμους.] ξυλοτόμους. σάρας ἐυπλέκτους.] ὑστριχίδας. ἄναντα.] προσάντη. ἀνοφορῇ. ἀξέμεν ὕλην.] κάπειν ὕλην. παρὰ τὸ ἄξαι. ἢ φέρειν. ἄγεται γὰρ τὸ ζῶον. κάταντά τι.] κατωφορῇ. πάραντα.] τὰ πρημνώδη καὶ γήλοφα. δέχμια.] πλάγια. κνημούς.] τὰς προβάσεις τ ὀρῶν οὕμ. διαπλήσσοντες.] διακόπτοντες. ἔκλιον. ἐξελίσμενον. ποσὶ λατιῦνο ἐμβρίζοντο βαλίζουσαι μβρισμῷ γάρ τινι ὅμοιον γίγνεται κατὰ τὴν ποράμ. ἄλλοτε.] ἀλλαχοῦ τ ποδῶν τιθεμένων. ῥωπήια.] διὰ τ λασίων καὶ θαμνωδῶν τόπων. φιτρούς.] κορμούς. ἐπ' ἀκρ.] ἐπὶ τ ἀγιαλοῦ. ἐπισχερώ.] ἐφεξῆς. φράσατο.] ἐβουλεύσατο. ἐρύσσι.

ῥώννυσθαι.]

Ἐὺ τέ με τυτθὸν ἐόντα Μενοίτι☉ δῖ Ὁπόεντος,
Ἤγαγεν ἡμέτερόν δ' ἀνδροκτασίης ὑπὸ λυγρῆς,
Ἤματι τῷδ' ὅτε παῖδα κατέκτανον Αμφιδάμαντος
Νήπιο☉, δὴ ἐθέλων, ἀμφ' ἀσταγάλοισι χολωθείς,
Ἐνθάδε με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεύς
Ἔτρεφέτ' ἐνδυκέως, καὶ σὸν θεράποντ' ὀνόμηνεν.
Ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι.
Χρύσε☉ ἀφιφορεύς, τόν τοι πόρε πότνια μήτηρ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Αχιλ-
Τίπτε μοι ἠθείη κεφαλὴ δεῦρ' εἰλήλουθας. (λεύς, 10
Καί μοι ταῦτα ἕκας' ὄπτελλεαι, αὐτάρ ἐγώ τοι
Πάντα μάλ' ἐκτελέω καὶ πείσομαι ὡς σὺ κελεύεις.
Ἀλλά μοι ἄσσον σῆθι μινυνθάδιόν περ ἀμφιβαλόντε
Ἀλλήλοις, ὀλοίοιο τ' ἀπολμώμεθα γόοιο.
Ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν,
Οὐδ' ἔλαβε, ψυχὴ δὲ ἢ χθονὸς, ἠΰτε καπνὸς
Ὤιχετο τετριγυῖα, τάφῳ δ' ἀνόρουσεν Αχιλλεύς,
Χερσί τε συμπλατάγησεν, ἔπος δ' ὀλοφυδνὸν ἔειπεν.
Ὦ πόποι, ἦ ῥα τίς ἐστι καὶ εἰν Ἀΐδαο δόμοισι 20
Ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες ὄκ ἔνι πάμπαν.
Πάννυχίη γάρ μοι Πατροκλῆ☉ δειλοῖο,
Ψυχὴ ἐφεστήκει γοόωσά τε μυρομένη τε,
Καί μοι ἑκὰς ἐπέτελλε· ἔικτο δὲ θεσκέλον αὐτῷ.
Ὣς φάτο, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο,
Μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλ☉ ἠώς,
Ἀμφὶ νέκυν ἐλεεινόν, ἀτὰρ κρείων Αγαμέμνων,
Οὐρῆας τ' ὤτρυνε καὶ ἀνέρας ἄξ ἑμεν ὕλην
Πάντοθεν ἐκ κλισιέων, τῶν δ' ἀνὴρ ἐδάλος ὀρώρει 30
Μηριόνης θεράπων ἀγαπήνορ☉ Ιδομενῆος.
Οἳ δ' ἴσαν ὑλητόμους πελέκεας ἐν χερσὶν ἔχοντες,
Σφάς τ' ἐυπλέκτους, πρὸ δ' ἄρ ὄρπες ἴσαν αὐτῶν,
Πολλὰ δ' ἄναντα κάταντα πάραντά τε δέχματ' ἦλθον
Αλλ' ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἰδης,
Αὐτίκ' ἄρα δρῦς ὑψικόμους ταναΐκεϊ χαλκῷ
Τάμνον ἐπειγόμενοι, τὰι δὲ μεγάλα κτυπέεσσαι
Πίπτον, τὰς μὲν ἔπειτα διαπλήσσοντες Αχαιοί, 40
Ἕκλιον ἡμιόνων, τὰι δὲ χθόνα ποσσὶ δάτευντο,
Ελδόμεναι πεδίοιο διὰ ῥωπήια πυκνά.
Πάντες δ' ὑλοτόμοι φορτὸς φέρον· ὡς γὰρ ἀνώγει
Μηριόνης θεράπων ἀγαπήνορ☉ Ιδομενῆ☉.
Καδδ' ἄρ ἐπ' ἀκρῃ βάλον ᾗσι χερῶ, ᾗδ' ἄρ Αχιλλεὺς
Φράσατο Πατρόκλῳ μέγα ἠρίον, ἠδὲ οἱ αὐτῷ.
Αὐτὰρ ἐπεὶ πάντῃ περακάμβαλον ἄσπετον ὕλην,
Εἵατ' ἄρ αὖθι μένοντες ἀολλέες, αὐτὰρ Αχιλλεὺς 50
Αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσε

Χαλκὸν

Χαλκὸν ζώννυσθαι, ζεῦξαι δ' ὑπὸ ὄχεσφιν ἕκαστον
Ἵππους, οἱ δ' ὦρνυτο καὶ ὑπ τεύχεσιν ἐδήιοον,
Ανδ' ἔβαν ὑπ δίφροισι πρόμαχοί τε, ἡνίοχοί τε,
Πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν,
Μύριοι, ὑπ δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι,
Θριξὶ δὲ πάντα νέκυν κατακείνυον, ἃς ἐπέβαλλον
Κειρόμενοι, ὄπιθεν δὲ κάρη ἕλκε δῖος Αχιλλεὺς
Αχνύμενος, ἕταρον γὰρ ἀμύμονα πέμπε ἄϊδος δε.
Οἱ δ' ὅτε χῶρον ἵκανον, ὅθι σφίσι πέφραδ' Αχιλλεύς,
Κάτθεσαν, αὖθι δε οἱ μενοεικέα νήγρετον ὕλην
Ἔνδ' αὖτ' ἄλλ' ὑπόκρε ποδάρκης δῖος Αχιλλεύς,
Στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην,
Τὴν ῥα Σπερχειῷ ποταμῷ τρέφε τυλεβοώλαι
Ὄχθησας δ' ἄρα εἶπεν ἰδ' ὠμὸν οἶνοπα πόντον.
Σπερχεὲ ἄλλως σοί γε πατὴρ ὑπόσχετο πυλεύς,
Κεῖσε με νοσφίζοντα φίλην ἐς πατρίδα γαῖαν,
Σοί τε κόμην κερέειν, ῥέξειν δ' ἱερὴν ἑκατόμβην,
Πεντήκοντα δ' ὑπόρχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
Ἐς πηγὰς, ὅθι τοί τέμενος, βωμός τε θυήεις,
Ὣς ἠρᾶθ' ὁ γ ἔρωα, σὺ δ' οἱ νόον ὐκ ἐτέλεσσας.
Νῦν δ' ἐπεὶ ὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν.
Πατρόκλῳ Ηρωῒ κόμην ὑπάσασθαι φέρεσθε.
Ὣς εἰπὼν ὑπ χερσὶ κόμην ἑτάροιο φίλοιο
Θῆκεν, τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο,
Καὶ νύκ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,
Εἰ μὴ Αχιλλεὺς αὖψ' Αγαμέμνονι εἶπε πρασσάς.
Ατρεΐδη. σοὶ γάρ τε μάλιστά γε λαὸς Αχαιῶν
Πείσονται μύθοισι, γόοιο μὲν ἔσι καὶ ἆσαι,
Νῦν δ' ἀχὴ πυρκαϊὴς σκέδασον, καὶ λεῖπνον ἄνωχθι
Ὄπλεσθαι, τά δὲ τ' ἀμφιπονησόμεθ' οἵσι μάλιστα
Κήδεός ἐσι νέκυος, πρὰς δ' οἵτ' ἀγοὶ ἄμμι μενοίνων,
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν ἄναξ ἀνδρῶν Αγαμέμνων,
Αὐτίκα, λαὸν μὲν σκέδασεν κατὰ νῆας ἑΐσας,
Κηδεμόνες δὲ παρ' αὖθι μόνον καὶ νήγρετον ὕλην.
Ποίησαν δὲ πυρὴν ἑκατόμπεδον, ἐν θα καὶ ἔνθα.
Ἐν δὲ πυρῇ ἔνσαντο, νεκρὸν θέσαν ἀχνύμενοι κῆρ.
Πολλὰ δὲ ἴφια μῆλα καὶ εἰλίποδας ἕλικας βοῦς
Πρόσθε πυρῆς, ἔδερόν τε ἔ ἄμφεπον. ἐκ δ' ἄρα πάντων
Δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Αχιλλεὺς,
Ἐς πόδας ἐκκεφαλῆς. πόδι δὲ θρασὰ σώματα νέει.
Ἐν δὲ πίθοι μέλιτος, καὶ ἀλείφατος ἀμφιφορῆας,
Πρὸς λέχεα κλίνων, πίσυρας δ' ἐριαύχενας ἵππους,
Ἐσυμβλήσας ἐνέβαλε πυρῇ μεγάλα στεναχίζων,
Ἐννέα τῷ γε ἄνακτι τραπεζῆες κύνες ἦσαν.
Καὶ μὲν τῶν ἐνέβαλε πυρῇ δύο δειροτομήσας,
Δώδεκα δὲ Τρώων μεγαθύμων υἷας ἐδλοὺς,
Χαλκῷ

ζώννυσθαι.] καθοπλίζεσθαι. ὕριον.] κατὰ γῆν μνῆμα. τάφον. παραβάται. οἱ ὅπ τ ἁρμάτων συμπολεμοῦντες. τοῖς τοῖσι κύριοι τ ἁρμάτων. νέφ⊙.] πλῆθ⊙ πολύ. βριθύ. ἢ πάντα νέκυν κατακείνυον.] κατεκάλυπτον. ἐσκέπαζον. τοῖσι πολλὰς τρίχας κατέβαλλον. ὡς τε καλύπτειν τ νεκρόν. ἔτο ἢ πρὸς τιμὴν ἐγίνετο τῷ θνήσκοντι. ὡς καὶ ἀλλαχοῦ φησι. τὸ γὰρ γέρας ὃ ζῶντων. πείρασθαί τε κόμην βαλέειν τ' ἀπὸ κάρη παρειῶν. μυοεικέα. πολλήν. νέον.] ἰσόρυνον. οἰνοπα.] πολύ βαθύν. Σπερχειῶ. ποταμὸς Θετταλίας ἄλλως.] μάτην. ἄλλως σοί γε πατὴρ ὑρύσατο πηλεύς.] ἐν⊙ ἦν τοῖς ἀρχαίοις μιτὰ τὸ παρακμάσαι αἱ νεότητος τὰς κόμας ἀποκείρειν τοῖς ποταμοῖς. τούτους γὰρ ἐνόμιζον τ ἀνατροφῶν αἰτίους εἶναι. διὰ ταύτην ἢ πλὴν αἰτίαν καὶ ἐς τοὺς ποταμοὺς ὕδωρ ἐνόμιζον. τίμιον τε γνῶσιν καὶ παιδοτροφίαν οἰωνὸν τιθέμενοι. διόπερ καὶ τὰς Αχιλλέως κόμας Πηλεὺς τοῦτο καθιέρωσεν ἦν γὰρ ἐν Φαρσάλῳ αἱ Θετταλίας. ἵνες χα.] ὄρχεις ἔχοντα. τοιαῦτα γὰρ ἔθυον τοῖς ποταμοῖς. σπάσαιμι.] παράσχοιμι. πυρκαϊῆς.] πῦρας. ὅπλεσθαι.] ἑτοιμάζεσθαι. τά δέ τ' ἀμφιπονησόμεθα.] ταῦτα ἀσχολησόμεθα. κήδε⊙.] φροντίδος ἀξί⊙. κηδεύσιμ⊙. κηδεμόνες γὰρ οἱ κύριοι οἷς μάλιστα προσήκει τὸ φροντίζειν. παρά δ' οἵ τ' ἀγοὶ ἄμμι μενοίνων.] παραμένετωσαν ἢ ἡμῖν οἱ ἡγεμόνες. ἑκατόμπεδον. ἔνθα καὶ ἔνθα.] τετράγωνον ὥς τε ἑκάστην πλευρὰν ἑκατὸν ποδῶν μέτρον ἔχειν. ἔνθα καὶ ἔνθα.] τῇ ἢ κἀκεῖσε κατὰ μῆκ⊙ καὶ πλάτ⊙. ἀραταί.] ἐκλελαρμένα. πυρῇ ὑπάτῃ.] πῦν ἐν μέσῳ καὶ ὀλίγον μέρει δὲ πυρᾶς. ἀλάφατος. ἀλείμματ⊙. ἐλαίᾳ. πύσυρας.] τέσσαρας. ἠριαύχενας.] μακροτραχήλους. μεγάλους ἀπὸ μέρους. πρὸ ἢ ὅλα τὰ σώματα νέει.] ἰσόρρυτα ἢ τὰ σώματα τ ἀκηρημένων ἀνδρῶν.

πυρὲς

πυρὸς μίνθ.] περιφρασικῶς τὸ πῦρ. σιδήρεον.] νεῶ ἰσχυρόν.

χαῖρέ μοι ὦ Πάτροκλε.] αἰτεῖ δ' χαῖρε, τέρπε, ὅ ἐστιν ἥδη. δῶμεν ἕλον.] πρὸς τὸ ταχὺ τῶν πεμπόντων βαφθῶναι τὸ ποιεῖ Ἀχιλλεύς. ὅφρα νέμοιτο.] ὅπως ἐδίη. τετέρπει παυσάμενος.

ἀκαπήμεν.] ἐδέσθην. ἀκαπέσθην.

ῥοδόεντι ἐλαίῳ.] τῷ ῥοδινῷ. ἀποδρύφοι.] ἀποσπᾷ, καὶ ἀποσύρῃ. ἑλκυσάζωμεν.] ἕλκωμεν. ἄγαγεν.] ἐπήγαγε. μένθ ἠελίοιο.] περιφραστικῶς ἥλιθ. σύατο.] ὁρμῶν λάβοι. ἐπιχθῆ. σκήλη.] σκληρώνῃ, ξηράνῃ. ὄθεν καὶ σκελετὸς ἐξηρός. ἀμφιπορφυρέα ἕντσι.] τ περὶ τοῖς νούροις χρῶτα. εἵατα.] ἀπέβησα. ἀνσάνθ.] σφοδρὸν πνεῦμα ἔχοντος.

βάλῳ.] τῇ φλιᾷ. ἀπὸ τ φάνσθαι.

ἔασι.] πρὸς ἑαυτὸν ἐκάλεσε. μέλλε λαίσομαι.] μεταλάβω αὐτ, σὺ καθῶ.

ἱρῶν] ἱερῶν, θυσιῶν. ἔροντι.] ἐρμήσαντι. ὀρίοντο.] ὥρμουν. ἀΰσμενα.] πνεῦν. λιγυρῇ.] ὀξέϊ. λεγέως.] ὀξέως.

νυμφίε.]

Χαλκῷ δηϊόωμεν, καὶ δὲ φρεσὶ μήδεται ὄρνυ,
Ἦμος δὲ πυρὸς μένθ ἦκε σιδήρεον, ὄφρα νέμοιτο,
Ὠμωξεν τ' ἄρ ἔπειτα φίλον δ' ὀνόμηνεν ἑταῖρον,
Χαῖρε μοι ὦ Πάτροκλε καὶ εἰν Ἀΐδαο δόμοισι,
Πάντα γὰρ ἤδη τοι τελέω τὰ πάροιθεν ὑπέστην,
Δώδεκα μὲν Τρώων μεγαθύμων ἥρας ἐδμὲς,
Τοὺς ἅμα σοὶ πάντας πῦρ ἐδίει, Ἕκτορα δ' ὅτι
Δώσω πρι αμίδην πυρὶ δαπέμεν, ἀλλὰ κύνεσσιν.
Ὡς φάτ' ἀπειλήσας, τὸν δ' ὀκύες ἀμφεπόνοντο.
Ἀλλὰ κύας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη,
Ἤματα καὶ νύκτας, ῥοδόωντι δὲ χρῖεν ἐλαίῳ
Ἀμβροσίῳ ἵνα μή μιν ἀρδύφοι ἕλκυσάζοι,
Τῷ δ' ὑπεκυάνεον νέφθ ἤγαγε Φοίβθ Ἀπόλλων,
Οὐρανόθεν πεδίον δὲ κατήλυφε δὲ χῶρον ἅπαντα.
Ὅσσον ἐπεῖχε νέκυς μὴ πρὶν μυίσσετο μηλοβοσκὸς
Σκήλη ἀμφιπεδιρόα ἵνεσιν ἠδὲ μέλεσσιν,
Οὐδὲ σαπῇ Πατρόκλοι καίθ τεθνειῶτος,
Ἔνθ αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖθ Ἀχιλλεύς,
Στὰς ἀπάνευθε πυρῆς δολίοις ἠρᾶτ' ἀνέμοισι,
Βορέην καὶ Ζεφύρῳ καὶ ὑπέσχεθ ἱερὰ καλὰ,
πολλὰ δὲ καὶ ἀπέσπενδε χρυσέῳ δ' ἐπαΐ λιτάνευε,
Ἐλθέμεν, ὄφρα τάχιστα σὺν εἰ φλέγεθοι τὸ νεκρόν,
Ὑλητ' ἐσεύετο πάντα, ὠκέα δ' Ἶρις,
Ἀρέων ἀΐσσα μετάγγελθ πλὴν ἀνέμοισιν.
Οἱ μὲν ἄρα Ζεφύροιο δυσάθ ἀθρόοι ἔνδυν,
Εἶλαπίνην δ' ἄνεντο, θέεσκε δὲ Ἶρις ἐπίσσω,
Βῆλῳ ἔνι λιθέῳ, τοῖσ' ὡς ἴδεν ὀφθαλμοῖσι,
πάντες ἀνήξαν, κάλεον τέ μιν εἰς ἕκαστος,
Ἦλθ' αὖτ' ἔζεσθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον.
Οὐχ ἕδθ, εἶμι γὰρ αὖθις ἐπ' Ὠκεανοῖο ῥέεθρα
Αἰθίοπων δυ γαῖαν, ὄθι ῥέζουσ' ἑκατόμβας
Ἀθανάτοις, ἵνα δ' ἦ καὶ ἐγὼ μετὰ δαῖτα γενοίμαι ἱρῶν,
Ἀλλ' Ἀχιλεὺς Βορέην ἠδὲ Ζεφυρὸν κελάδειν
Ἐλθεῖν ἀρᾶται, καὶ ὑπίσχεται ἱερὰ καλὰ,
Ὄφρα πυρὴν ὄρσῃ τε κάηται νεκρὸς ἑῆν κατὰ
Πάτροκλθ, τὸν πάντες ἀνασχάζουσιν Ἀχαιοί.
Ἦ μὲν ἄρ' ὣς εἰποῦσ', ἀπερείσια ποσὶ κέλευθα,
Ἦλθε θεαὶ σὺν νέφεα κλυτὰ πάροιθεν.
Αἶψα δὲ πόντον ἵκανον ἀκμῆνας, ὦρτο δὲ κῦμα
πολὺ λιγυρῇ, Τροίην δ' ἐρίβωλον ἵκανεν,
Ἐν δὲ πυρὴ πεσέτην, μέγα δ' ἴαχε θεσπεσιάων πῦρ.
πανύχιοι δ' ἄρα τοί γε πυρῆς ἀμυδὶς φλόγ' ἔβαλλον,
Φυσῶντες λιγέως, ὁ δὲ πάννυχθ ὠκὺς Ἀχιλεὺς
Χρυσέῃ κρητῆρθ ἔχων δέπας ἀμφικύπελλον,
Οἶνον ἀφυσόμενος χαμάδις χέε, λδὺε δὲ γαῖαν,
Ψυχὴν κικλήσκων Πατροκλῆος δαέντος.

Ὡς δὲ

Ὡς δὲ ποτὲρ οὖ παιδὸς ὀδύρεται ὀσέα καίων
Νυμφίος, ὅστε θάνων σελὸς ἀκάχησε τοκῆας,
Ὡς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀσέα καίων
Ἑρπύζων πᾶσὰ πυρκαϊήν, ἀολλινὰ στεναχίζων,
Ἡμος δ' Ἑωσφόρος εἶσι φόως ἐρέων ἐπὶ γαῖαν,
Ὀντε μετὰ κροκόπεπλος ἐπείρ ἅλαδε νίσηται ἠώς,
Τῆμος πυρκαϊὴ ἐμαραίνετο, κάππεσε δὲ φλόξ.
Οἱδ' ἄνεμοι πάλιν ἆσπις ἔβαν οἴκοθε λιγέες,
Θρῄκιον ἠπ' πόντον. ὁδὸν δ' ἔσσευε οἰδήσασα θυέλλη.
Πλειάδης δ' ἀρ πυρκαϊῆς ἐτόρωσε λιασθείς,
Κλίνθη κεκμηώς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρωρεν.
Οἱδ' ἀμφ' Ἀτρεΐωνα ἀολλέες ἠγερέθοντο.
Τὸν μὲν ἐπεγχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν,
Ἕζετο δ' ὀρθωθεὶς καί σφεας πρὸς μῦθον ἔειπεν.
Ἀτρεΐδη τε καὶ ἄλλοι ἀρίστῆες πανταχαιῶν.
Πρῶτον μὲν πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνῳ
Πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος. αὐτὰρ ἔπειτα
Ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν,
Εὖ διαγινώσκοντες· ἀριφραδέα δὲ τέτυκται,
Ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν,
Ἐσχατιῇ καίοντ' ἐπὶ μίξ ἵπποι τε καὶ ἄνδρες.
Καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ δίπλακι δημῷ
Θείομεν, εἰσόκεν αὐτὸς ἐγὼ ἐς Ἄϊδι νέομαι.
Τύμβον δ' ὀμάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
Αὐτὰρ ἔπειτα δεῖον ἔπειτα δὲ καὶ μὲν Ἀχαιοί,
Εὐρὺν ὑψηλόν τε τιθέμεναι. ὄφρα ἐμεῖο
Δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε.
Ὡς ἔφατ', οἱδ' ἐπίθοντο ποδώκεϊ Πηλεΐωνι.
Πρῶτον μὲν πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
Ὅσσον ἐπέφλόξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη,
Κλαίοντες δ' ἑτάροιο μετὰ μέλεος ὀστέα λευκὰ
Ἀλέγοντ' ἐς χρυσέην φιάλην, καὶ δίπλακα δημόν.
Ἐν κλισίῃσι δὲ θέντες ἑανῷ λιπὶ κάλυψαν,
Τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο
Ἀμφὶ πυρήν, εἶθαρ δὲ χυτὴν ἀΐδηλον γαῖαν ἔχευαν,
Χεύαντες δὲ τὸ σῆμα πάλιν κίον, αὐτὰρ Ἀχιλλεὺς
Αὐτοῦ λαὸν ἔρυκε, καὶ ἷζανεν εὐρὺν ἀγῶνα.
